a. Observe that in these adjectives the comparative is formed by adding **-ίων** to the *root* (not the *stem*) of the positive, the superlative by adding **-ιστος**.

b. This mode of comparison is confined to certain adjectives in **υς** and **ρος**.

Digitized by Google

c. The comparative is declined like **εὐδαίμων** (179), but **ονα** may contract into **ω, ονες** and **ονας** into **ους.**

***221.** Table of Irregular Comparison (for reference).

ἀγαθός,	*good, brave.*		
		ἀμείνων	
			ἄριστος
		βελτίων	**βέλτιστος**
		κρείττων	**κράτιστος**
		λῴων	**λῷστος**
εὐδαίμων,	*fortunate*	**εὐδαιμονέστερος**	**εὐδαιμονέστατος**
εὔνους,	*well-disposed*	**εὐνούστερος**	**εὐνούστατος**
κακός,	*bad, weak, cowardly*	**κακίων**	**κάκιστος**
		ἧττων	[**ἥκιστα,** adv.]
		χείρων	**χείριστος**
καλός,	*beautiful*	**καλλίων**	**κάλλιστος**
μέγας,	*great*	**μείζων**	**μέγιστος**
μῑκρός,	*small*	**μῑκρότερος**	**μῑκρότατος**
		ἐλάττων	**ἐλάχιστος**
		μείων	(**μεῖστος,** rare)
πολύς,	*much, many*	**πλείων (πλέων)**	**πλεῖστος**
ῥᾴδιος,	*easy*	**ῥᾴων**	**ῥᾷστος**
χαρίεις,	*pleasing*	**χαριέστερος**	**χαριέστατος**

222. Adjectives may be compared also by prefixing **μᾶλλον,** *more*, and **μάλιστα,** *most* (234), as **μᾶλλον δίκαιος,** *more just*, **μάλιστα σοφός,** *most wise.*

223. Compare **ἄγριος, ἱκανός, πρόθῡμος, πολέμιος.**

224. MODEL SENTENCES

α. **ἐσμὲν κρείττονες ἢ ὑμεῖς,**
β. **ἐσμὲν κρείττονες ὑμῶν,** } *we are stronger than you.*

γ. **οὕτως περι-γενήσεται τῶν ἀντιστασιωτῶν,** *in this way he will get the better of his opponents.*

Digitized by Google

a. Observe the case used after **κρείττονες** in *β*, when **ἤ**, which is used in *a*, is omitted. What case is used in Latin when *quam* is omitted?

b. Notice that *γ* contains no comparative, but the idea of comparison in **περι-γενήσεται** requires the genitive.

225. Rule of Syntax. — A comparative is followed by the genitive when **ἤ**, *than*, is omitted; if **ἤ** is expressed, the same case follows that precedes it.

226. Rule of Syntax. — The genitive follows verbs signifying *to surpass*, *to be inferior*, and all others which imply comparison.

227. TRANSLATE: 1. *ἐντεῦθεν* **Κῦρος** *τὴν βασίλειαν πάλιν ἀπο-πέμπει*[1] *τὴν ταχίστην ὁδόν.*[2] 2. *οὐκ ἐσόμεθα κακίους τῶν ἄλλων στρατιωτῶν.* 3. *ὦ κάκιστε ἀνθρώπων,*[3] *σὺν τοῖς πολεμίοις ἐφ'*[4] *ἡμᾶς ἥκεις.* 4. *ἡ φυγὴ τοῖς πολεμίοις ἀσφαλεστέρᾱ ἐστὶν ἢ ἡμῖν.* 5. *ὁ δὲ ἀνὴρ ἀξιώτατος μὲν φίλος τοῖς φίλοις, χαλεπώτατος δὲ ἐχθρὸς τοῖς πολεμίοις.*[5] 6. *ὁπλίτᾱς ἔλαβεν ὡς πλείστους.* 7. *πιστότερος ἦν τῷ* **Κύρῳ** *ἢ τῷ ἄλλῳ ἀνδρί.* 8. *ἐὰν τὸν ποταμὸν δια-βαίνητε,* **Κῦρος** *ὑμῖν χάριν ἕξει ὡς προθῡμοτέροις πάντων τῶν ἄλλων.* 9. *οὗτος ὁ οἶνος ἥδιστός ἐστι.* 10. *περι-εγένετο τῶν ἐχθρῶν πάντων.*

---

[1] Historical present, used for aorist in vivid narrative.

[2] Acc. to denote the road over which one passes.

[3] Partitive genitive.

[4] For **ἐπί**, **ι** elided, and **π** aspirated before a rough breathing.

[5] The forms **ἐστί**, **εἰσί**, are often omitted.

Digitized by Google

228. 1. Let us be more faithful than the barbarians. 2. Cyrus was the most bitter enemy of all. 3. The safest road is not always the quickest. 4. He was more worthy to be king than his brother; for he surpassed the wisest men. 5. They sent back as many targeteers as possible.

229. VOCABULARY

ἄξιος, α, ον, adj., *worthy.*
ἀπο-πέμπω, *send back, send away.*
ἀσφαλής, ές, adj., *safe.*
ἡ βασίλεια, *queen.*
ἡδύς, εῖα, ύ, adj., *sweet.*
ὁ οἶνος, *wine.*
περι-γίγνομαι, *be superior to, surpass.*
πιστός, ή, όν, adj., *faithful.*
ταχύς, εῖα, ύ, adj., *swift, quick.*
ἡ φυγή, *flight, retreat;* cf. **φεύγω.**
χαλεπός, ή, όν, adj., *severe, bitter, harsh.*
ὡς, adv., *as;* w. superlatives, **ὡς τάχιστος**, *as quick as possible.*

***230.** REVIEW EXERCISE

Ἀνὴρ καὶ Λέων. (See Lesson XVIII)

Ὡς δὲ δὴ συν-ώδευον, ἔλεξεν ὁ ἀνήρ, Ἐν δὲ τῇ ἐμῇ (*my*) οἰκίᾳ πολλὰ καλά ἐστι, τὰ μὲν μῑκρά, τὰ δὲ μεγάλα.

Ἀλλὰ πάντων τί μάλιστα φίλον ἐστί σοι; ἔφη ὁ λέων.

Πάντα φιλῶ (*I like*) αὐτῶν, ἔφη ὁ ἀνήρ, ἀλλ' ἄγαλμά[1] τι[2] χαρίεν ἐμοί γε δοκῶ (*I seem*) πολὺ φιλεῖν.

Καὶ ὁ ἕτερος, Οὐ θαυμάσιον[3] τοῦτο, ἀλλὰ τίνος[4] ἐστὶ τὸ ἄγαλμα;

—Ἀνδρός ἐστι καὶ λέοντος, ὃν ἔλαβεν οὗτος. ἄνδρες δὴ γὰρ ἄρχουσιν ἁπάντων θηρίων.[5]

ὑπολαβὸν[6] δὲ τὸ μέγα θηρίον ἔφη, Ταῦτα οὖν σὺ λέγεις· εἰ μέντοι (*however*) δύναιντο λέοντες γλύφειν λίθους πολλοὺς ἂν ἴδοις ἐπὶ λέουσιν.

---

[1] **στήλη.** [2] Neut. of **τις**, *a certain.* [3] Cf. **θαυμάζω.**
[4] Gen. sing. of **τί**, *what?* [5] Cf. 187, c. [6] 2nd aor. participle.

Digitized by Google

LESSON XXI

ADVERBS — DATIVE OF RESEMBLANCE AND DATIVE WITH COMPOUNDS

231. Adverbs are regularly formed from adjectives.

232. MODELS

	Adjective.	Gen. Plur. Masc.	Adverb.
1.	δίκαιος, *just*	δικαίων	δικαίως, *justly*
2.	σοφός, *wise*	σοφῶν	σοφῶς, *wisely*
3.	ἡδύς, *sweet*	ἡδέων	ἡδέως, *sweetly, gladly*
4.	πᾶς, *all*	πάντων	πάντως, *wholly*

a. Observe that adverbs are formed by changing **ν** of the genitive plural masculine to **ς**.

MODELS

	Adjective	Adverb
1.	πολύς, *much*	πολύ or πολλά, *much*
2.	μέγας, *great*	μέγα or μεγάλα, *greatly*
3.	μόνος, *alone*	μόνον, *only*

b. Observe that the neuter accusative of an adjective (either singular or plural) may be used as an adverb.

COMPARISON

233. MODELS

	Positive	Comparative	Superlative
1.	δικαίως, *justly*	δικαιότερον	δικαιότατα
2.	σοφῶς, *wisely*	σοφώτερον	σοφώτατα
3.	ἡδέως, *gladly*	ἥδῖον	ἥδιστα
4.	κακῶς, *ill*	ἧττον	ἥκιστα

a. Observe that the comparative of the adverb is the neuter accusative *singular* of the comparative of the corresponding adjective; the superlative is the neuter accusative *plural*.

Digitized by Google

b. Form the comparative and superlative of **ἱκανῶς, πολύ, προθύμως, ταχέως, ἀσφαλῶς.**

*234. IRREGULAR COMPARISON

1. **μάλα**, *much, very*; **μᾶλλον**, *more, rather*; **μάλιστα**, *most.*
2. **ἄνω**, *above*; **ἀνωτέρω, ἀνωτάτω.**
3. **ἐγγύς**, *near*; **ἐγγύτερον** or **ἐγγυτέρω**; **ἐγγύτατα** or **ἐγγυτάτω.**

235. MODEL SENTENCES

α. **εὗρον πετρίνην στήλην ὁμοίᾱν ἀνδρί,** *they found a stone image like a man.*

β. **ὡμίλει καλαῖς καὶ μεγάλαις γυναιξί,** *he associated with fair and stately women.*

γ. **συλλέξᾱς στράτευμα ἐπολέμει τοῖς Θρᾳξί,** *he collected an army and began to make war on the Thracians.*

α. Notice the case used after **ὁμοίᾱν** in *α*, and cf. *similis* in Latin. So **ὡμίλει,** *associated with*, and **ἐπολέμει,** of hostility.

236. Rule of Syntax. — The dative is used with all words of *union, resemblance, agreement*, and *approach*, and their opposites.

237. MODEL SENTENCES

α. **Μανίᾱ συν-εστρατεύετο τῷ Φαρναβάζῳ,** *Mania took the field with Pharnabazus.*

β. **ὁ δῆμος ἐμ-μένει τοῖς ὅρκοις,** *the people remain true to the oaths.*

α. Observe in these sentences an example of a construction which you have often seen in Latin. But the number of prepositions found in composition with verbs in Greek is much smaller than in Latin.

Digitized by Google

238. Rule of Syntax. — The dative follows many verbs compounded with **ἐν, σύν,** or **ἐπί,** and some compounded with **πρός, παρά, περί,** and **ὑπό.**

239. TRANSLATE: 1. ἥδιστα ἤκουσα τὸ ὄνομα τούτου τοῦ ἐχθροῦ· δεινότατος γὰρ ἦν. 2. περὶ νίκης ἔτρεχον ὡς προθῡμότατα. 3. συν-έπεμψε τῇ βασιλείᾳ φύλακας ὡς ἀρίστους. 4. οἱ Ἕλληνες, ἐπεὶ οἱ πολέμιοι ἐγγύτερον ἐγίγνοντο, πολὺ ἔτι προθῡμότερον προς-ήγαγον.[1] 5. ἐὰν τὰς κώμᾱς ἁρπάζωμεν, θᾶττον παύσονται οἱ Πέρσαι. 6. οἱ δὲ Ἕλληνες ἐπεὶ τοῦτο ἤκουσαν ἥδῑον καὶ προθῡμότερον συν-επορεύοντο τῷ Κύρῳ. 7. οἱ μὲν πολέμιοι ἔφευγον πολὺ ἔτι θᾶττον, οἱ δὲ Ἕλληνες τἀναντία[2] ἔφευγον διὰ τοῦ ποταμοῦ ὡς τάχιστα. 8. ἐπ-εβούλευον τοῖς ἄλλοις Ἕλλησιν. 9. οὐχ ὁμοίοις ἀνδράσι μάχονται νῦν τε καὶ τότε. 10. σὺν τοῖς φυγάσιν ἐμάχοντο τῷ σατράπῃ.

240. 1. Then they accompanied (proceeded with) the general more gladly than (they do) now. 2. They fled into the nearest villages by the shortest road.[3] 3. He will send these allies with the guide much more safely. 4. Let us fight the enemy more zealously and more ably. 5. If they should become men like their fathers, they would be very faithful allies.

---

[1] **ἤγαγον**, 2d aor. act. of **ἄγω**.

[2] For **τὰ ἐναντία**, the contraction indicated by *coronis* (᾽). This contracting a final vowel with the initial vowel of the following word is called *crasis* (mixing). **τὰ ἐναντία**, *in the opposite direction*.

[3] Cf. 227, 1.

Digitized by Google

241. VOCABULARY

δεινός, ή, όν, adj., *dread, clever.*
ἐγγύς, adv., *near.*
ἐναντίος, ᾱ, ον, adj., *facing, opposed to.* Cf. **ἀντί.**
ἐπι-βουλεύω, *plot against.*
ἔτι, adv., *still, yet.*
ἡδέως, adv. of **ἡδύς,** *gladly.*
μάχομαι, μαχοῦμαι, ἐμαχεσάμην, μεμάχημαι, *fight.* Cf. **μάχη.**
ὅμοιος, ᾱ, ον, adj., *like, similar.*
συμ-πορεύομαι, *proceed with* (for **συνπορεύομαι**).
τέ, conj. enclitic, *and*; **τε . . . καί,** *both . . . and.* Lat. *-que.*
τότε, adv., *then, at that time.*
τρέχω, δραμοῦμαι, ἔδραμον, -δεδράμηκα, -δεδράμημαι, *run.*

LESSON XXII

THE IMPERATIVE MOOD — COMMANDS AND PROHIBITIONS

242. Learn the Present and Aorist Imperative, Active, Middle, and Passive of **λῡ́ω** (516–18), and the Present Imperative of **εἰμί** (528). Learn the Second Aorist Active and Middle Imperative of **λείπω** (519).

a. The personal endings of the imperative are: —

Active		Middle and Passive	
θι	**τε**	**σο**	**σθε (θε)**
τω	**ντων**	**σθω (θω)**	**σθων (θων)**

243. MODEL SENTENCES

α. **λέγετε, λεξάτω, παύου, παυσάσθω,** *speak, let him speak, stop, let him stop.*

β. **μὴ ποίει** (for **ποίεε**) **τοῦτο,** *do not (ever) do this.*

γ. **μὴ ποιήσῃς τοῦτο,** *do not do this (now).*

a. Observe that the imperative (both present and aorist) is used to express a direct command; and notice in *β* and *γ* the forms used in prohibition.

Digitized by Google

244. Rule of Syntax. — The Imperative expresses a command, exhortation, or entreaty; but in prohibitions in the second and third persons the *present imperative* or the *aorist subjunctive* is used with **μή**.

Here the two forms differ only as the present and aorist subjunctive. How are exhortations and prohibitions in the first person expressed?

245. TRANSLATE: 1. λῦε, λῦσον, λῦσαι. 2. λυθέντων, λῡσάντων, λῡσάσθων. 3. ἴσθι, ἔστε, ἔστων. 4. λίπε, λιποῦ. 5. σκέψασθε, μὴ σκέψησθε. 6. κᾱέτω, μὴ κᾶε. 7. πορεύθητι, πορεύου. 8. μὴ λάβῃς, λαβέ.[1] 9. μὴ λέγετε, μὴ λέξητε. 10. ἀρχέσθω, κωλῡθήτω.

246. 1. μὴ πορεύου μόνος, ἀλλὰ κέλευε τοὺς ἡγεμόνας τὴν ταχίστην ὁδὸν ἄγειν. 2. ἥκετε εἰς τὸ μέσον τοῦ στρατοπέδου, καὶ τοὺς ἐπιτηδείους ἄγετε. 3. παρέστω δὲ ἡμῖν ὁ κῆρυξ. 4. εἰ ἄθῡμοί ἐστε, σκέψασθε τοῦτο. 5. ἄνδρες ἀγαθοὶ ἔστε, μὴ ἀθῡμότεροι τῶν βαρβάρων γένησθε. 6. οἱ στρατιῶται μᾶλλον πειθέσθων τοῖς ἄρχουσι νῦν ἢ πρόσθεν. 7. ἀκούσατέ μου· κάωμεν τὰς κώμᾱς. 8. μὴ δρόμῳ[2] ἀγάγῃς ἐπὶ τὰ ὄρη. 9. συμ-πορευθήτω τῷ ἀγγέλῳ παρὰ τὸν πατέρα. 10. λέγε τἄληθῆ, ὅτι εὐθὺς ἥξω.

247. 1. Consider this at once, Clearchus. 2. Do not send for the only faithful men of the army. 3. Hear me, my clever guide, and advance on the run to the

[1] The forms **εἰπέ, ἐλθέ, εὑρέ, λαβέ**, are oxytone; so **ἰδέ**, meaning *behold!*
[2] Dat. of manner.

Digitized by Google

general. 4. Say to him: Let all wars be stopped. 5. Let him be present and deliberate with the other rulers.

248. VOCABULARY

ὁ ἄγγελος, *messenger.*
ἄθῡμος, ον, adj., *discouraged.* Cf. **πρόθῡμος.**
ὁ ἄρχων, οντος,[1] *ruler.* Cf. **ἄρχω.**
ὁ δρόμος, *a running, race.*
κάω, καύσω, ἔκαυσα, *burn, set on fire.*
λέγω, λέξω, ἔλεξα, *say, tell.*
μέσος, η, ον, adj., *middle.*
μόνος, η, ον, adj., *only.* Adv. **μόνον.**
ὅτι, conj., *that, because.*
πάρ-ειμι, *be present, arrive.*
πρόσθεν, adv., *before* (of time and place), *previously.*

***249. Διάλογος.** — WORK AND PLAY

Γεώργιος. *Καταλίπεσθε τὰς βίβλους, ὦ παῖδες, καὶ συνέλθετέ μοι*[2] *πρὸς τὸ ὄρος· δεῦρο γὰρ πορεύσομαι, καὶ ἥδιστ'*[3] *ἂν ἔλθοιμι σὺν ὑμῖν.*

Θωμασίδιον. *Πορευέσθων οἱ ἄλλοι, ἀλλ' ἐμοί γε οὐ δυνατόν ἐστιν.*

Πάντες. *Τί γὰρ οὖν;*

Θωμασ. *Διότι τὰ ἐμὰ Ἑλληνικὰ οὔπω μεμάθηκα. ταῦτα μέντοι ῥᾴδιά ἐστιν, ἐὰν δὲ μένητε μικρόν, ἡδέως σὺν ὑμῖν πορεύσομαι.*

Γεωργ. *Ἀλλὰ μένειν οὐ δυνάμεθα· νῦν δ' οὖν ἐλθέ.*

Θωμασ. *Μὴ ταῦτα λέξῃς· ἐθέλω γὰρ μάλιστα ὥσπερ ὑμεῖς.*

Γεωργ. *Εἶεν* (*well*)· *ἴτε νῦν, μηκέτι μέλλωμεν. πορευώμεθα δὲ πρὸς τὸ ὄρος, καταλιπόντες τοῦτον τὸν σοφόν.*[4]

---

[1] Voc. sing. **ἄρχων**, like nom., because the word is originally a participle. Cf. 139, *b*.

[2] Cf. 238. [3] Cf. 136. [4] **σοφόν** as noun.

Digitized by Google

οἱ δὴ ἄλλοι ἀπέρχονται πάντες, καὶ ταύτην γε τὴν ἡμέραν χαίρονται (*are happy*). τῇ δὲ ὑστεραίᾳ[1] ἐποίησεν ὁ διδάσκαλος ἐξέτασιν (*test*) τῶν Ἑλληνικῶν. ἐν δὲ δὴ ταύτῃ Θωμασίδιον μὲν καλῶς ἔπραξεν, οἱ δὲ ἄλλοι κάκιστα. ἔνθα δὴ ἀκούσας ὁ διδάσκαλος, Ἀεί, ἔφη, πρῶτον μὲν τοὺς πόνους ποιεῖτε, ἔπειτα δὲ παίζεσθε.[2]

250. VOCABULARY

ἡ βίβλος, *book*.
δεῦρο, adv., *hither, here*.
δυνατός, ή, όν, adj., *possible, able*.
μέλλω, μελλήσω, *delay*.
ὑστεραῖος, ᾱ, ον, adj., *following*.
ὁ πόνος, *task, labor*.

LESSON XXIII

NOUNS OF THE CONSONANT DECLENSION IN I, Y, EY — TWO ACCUSATIVES

251. PARADIGMS

	αὕτη ἡ πόλις, THIS STATE (CITY). (πολι-)		πῆχυς, ὁ, CUBIT. (πηχυ-)	βασιλεύς, ὁ, KING. (βασιλευ-)
		SINGULAR		
N.	αὕτη	ἡ πόλις	πῆχυς	βασιλεύς
G.	ταύτης	τῆς πόλεως	πήχεως	βασιλέως
D.	ταύτῃ	τῇ (πόλεϊ) πόλει	(πήχεϊ) πήχει	(βασιλέϊ) βασιλεῖ
A.	ταύτην	τὴν πόλιν	πῆχυν	βασιλέᾱ
V.		πόλι	πῆχυ	βασιλεῦ
		PLURAL		
N. V.	αὗται	αἱ (πόλεες) πόλεις	(πήχεες) πήχεις	(βασιλέες) βασιλεῖς
G.	τούτων	τῶν πόλεων	πήχεων	βασιλέων
D.	ταύταις	ταῖς πόλεσι	πήχεσι	βασιλεῦσι
A.	ταύτᾱς	τᾱ̀ς πόλεις	πήχεις	βασιλέᾱς

[1] sc. ἡμέρᾳ.

[2] Cf. 65 ; 244.

Digitized by Google

a. Notice the genitives in **εως** and **εων**, and their irregularity in accent; and observe that in **βασιλεύς, υ** of the stem disappears before a vowel. Nouns in **ις** and **ευς** are quite common.

252. MODEL SENTENCES

a. **τί ἐμὲ ταῦτα ἐρωτᾷς,** *why do you ask me this?*

β. **ἐπὶ σοὶ ἔσται ἀφ-ελέσθαι ἐμὲ τὴν ἀρχήν,** *it will be in your power to take the province from me.*

γ. **ἥδετο εἴ τίς τι ἀγαθὸν ποιήσειεν αὐτόν,** *if anybody did him good, he rejoiced.*

a. Observe the two accusatives in each sentence. Only in *β* is the construction different from the English.

253. Rule of Syntax. — Verbs signifying *to ask*, *demand*, *teach*, *remind*, *clothe* or *unclothe*, *conceal*, *deprive*, and *take away*, may take two object accusatives; so also verbs signifying *to do anything to* or *say anything of* a person.

254. MODEL SENTENCES

a. **στρατηγὸν δὲ αὐτὸν ἀπ-έδειξε πάντων,** *he appointed him general of all.*

β. **ἐκαλεῖτε Ξενοφῶντα πατέρα,** *you called Xenophon father.*

a. Observe here the construction with which you are very familiar in Latin, the double accusative with verbs of *naming*, etc.

255. Rule of Syntax. — Verbs signifying *to name*, *choose* or *appoint*, *make*, *think* or *regard*, and the like, may take a predicate accusative beside the regular object.

Digitized by Google

256. TRANSLATE: 1. ἐνταῦθα Κῦρος ἐξέτασιν εἶχεν ἐν τῷ πεδίῳ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων. 2. ἐκ δὲ τούτου[1] ἑρμηνέᾱ πέμπει πρὸς τοὺς Θρᾷκας. 3. τῶν Ἑλλήνων οἱ μὲν[2] ἐν ταῖς τάξεσιν ἦσαν, οἱ δὲ[2] εἰς τὰς τάξεις ἔτρεχον. 4. τοῖς ἱππεῦσιν ἐπίστευε μᾶλλον ἢ τοῖς πελτασταῖς. 5. ἐντεῦθεν ἐξ-ελαύνει σταθμὸν ἕνα παρασάγγᾱς ὀκτὼ εἰς πόλιν εὐδαίμονα καὶ μεγάλην. 6. παρὰ βασιλέως[3] ἦκον ἄγγελοι καὶ ἡμᾶς ἐδίδασκον ταῦτα. 7. νομίζω ὑμᾶς ὀλίγου ἀξίους συμμάχους. 8. ἤρετο τὸν ἑρμηνέᾱ πολλά. 9. σωφροσύνην ἐδιδασκόμην ὑπὸ τοῦ πατρός. 10. τὸ τῆς πόλεως ταύτης τεῖχος ἦν τὸ εὖρος εἴκοσι πήχεων.

257. 1. After the review of the soldiers, he sent for horses for the cavalry. 2. The great king considered the interpreter a valuable friend. 3. The satrap alone was plotting against these cities at that time. 4. Socrates taught young men self-restraint. 5. The ranks of the Persians retreated on the run to the nearest city.

258. VOCABULARY

διδάσκω, διδάξω, ἐδίδαξα, *teach.*
εἴκοσι, indecl., *twenty.*
εἷς, μία, ἕν, *one.*
ἐνταῦθα, adv., *there, in that place.*
ἡ ἐξέτασις, εως, *review.*
ὁ ἑρμηνεύς, έως, *interpreter.*
ἠρόμην, 2d aor. mid. *I asked;* **ἐρωτάω** is used for present.
ὁ ἱππεύς, έως, *horseman;* **οἱ ἱππεῖς,** *the cavalry.*
νομίζω, *think, consider.* Cf. **νόμος.**
ὀλίγος, η, ον, adj., *a little, a few;* used in the neuter as noun, *little.*
ἡ σωφροσύνη, *self-restraint, moderation.*
ἡ τάξις, εως, *line of battle, rank.*

[1] *After this, thereupon.*
[2] **οἱ μέν . . . οἱ δέ,** *some . . . others.*
[3] The article is omitted regularly with **βασιλεύς** referring to the king of Persia.

Digitized by Google

LESSON XXIV

THE INFINITIVE AND ITS USES

259. Learn the Infinitives, Active, Middle, and Passive, of **λῡ́ω** (516–18) and **εἰμί** (528). Learn the Second Aorist Infinitives of **λείπω** (519).

a. Personal endings: Active, **εν, ναι (εναι)**. Middle and Passive, **σθαι**.

260. The infinitive shows some irregularity of accent. The aorist infinitive active accents the penult; so also the perfect middle and all infinitives in **ναι**. The second aorist infinitive active has the circumflex on the ultima, the second aorist middle accents the penult (203).

261. *Uses as in English.*

MODEL SENTENCES

a. **ἔξ-εστιν ἰέναι,** *it is possible to go.*

β. **βούλεται μένειν,** *he wishes to remain.*

γ. **κελεύει τὸν ἄνδρα πορεύεσθαι,** *he orders the man to go.*

δ. **ὡς φοβερώτατον τοῖς πολεμίοις εἴη ὁρᾶν,** *that it might be a most frightful thing for the enemy to see.*

ε. **πολλαὶ πέλται καὶ ἅμαξαι ἦσαν φέρεσθαι ἔρημοι,** *many shields and wagons were left to be carried off.*

a. Observe that the infinitive in *a* is the subject of the verb; in *β* it becomes the object of **βούλεται**; *β* and *γ* are examples of a large group of verbs of *wishing*, *commanding*, *advising*, *causing*, *attempting*, etc., which naturally require an infinitive to complete their meaning.

b. Any adjective or adverb may take an infinitive to limit its meaning, as **ὁρᾶν** in *δ*.

Digitized by Google

c. Notice that in the last sentence **φέρεσθαι** expresses the motive of **ἔρημοι ἦσαν.** In what other ways may purpose be expressed? Is the infinitive used in Latin to express purpose?

d. The difference between the present and aorist here (that is, not in indirect discourse) is the same as for the subjunctive, optative, etc.: that is, the present for continued action, the aorist for a single act.

262. *The Infinitive with the Article.*

MODEL SENTENCES

α. NOM. **τῶν γὰρ νῑκώντων ἐστὶ τὸ κατα-καίνειν,** *for it is the part of those who conquer to kill.*

β. GEN. **αἴτιος εἶ τοῦ πλείστους ἀπ-ολωλέναι,** *you are to blame for the death of many (of the very-many-to-have-died).*

γ. GEN. **ὀφθαλμῶν τοῦ ὁρᾶν ἕνεκα δεόμεθα,** *we need eyes for seeing (in order to see).*

δ. DAT. **νομίζοντες αὐτὸν ἐμποδὼν εἶναι τῷ ποιεῖν,** *considering that he was a hindrance to their doing.*

ε. ACC. **κατ-έστησαν τὴν πόλιν εἰς τὸ ὑπ᾽ ὀλίγων τυραννεῖσθαι,** *they brought the state into the (condition of) being tyrannized over by a few.*

a. Observe that instead of a noun as subject of **ἐστί** in *α*, we find **τὸ κατα-καίνειν,** the infinitive with the neuter article in the proper case; so in *β* after **αἴτιος,** which takes the genitive of cause, we find **τοῦ ἀπ-ολωλέναι,** an infinitive used as a neuter noun in the genitive.

b. In *δ* **τῷ ποιεῖν** is used as a noun in the dative after **ἐμποδών.**

c. Observe in the remaining sentences common uses of infinitives with prepositions, as if they were nouns.

Digitized by Google

263. Rule of Syntax. — The infinitive with the article may be the subject or object of a verb, may depend upon a preposition, or stand in most of the constructions belonging to nouns.

264. TRANSLATE: 1. λύειν, λύσειν, λῦσαι, λελυκέναι. 2. λελύσθαι, λυθῆναι, λύσασθαι, λύεσθαι. 3. λύσεσθαι, λυθήσεσθαι, εἶναι. 4. λιπεῖν, λείπειν. 5. γενέσθαι, πείθεσθαι. 6. διὰ τὸ φυλάττειν. 7. ἐλθεῖν, λέγεσθαι. 8. παιδευθῆναι, πεπαιδευκέναι. 9. κελεῦσαι, βουλεύσειν. 10. ἀγαγεῖν, ἄξεσθαι. 11. ἡρπάσθαι, ἁρπάσεσθαι. 12. λελύσεσθαι, ἀφ-ικέσθαι.

265. 1. ἀνάγκη ἐστὶν ἅμα τε χρήματα ἄγειν καὶ τοῖς πολεμίοις μάχεσθαι. 2. οὐδεμία ἐλπὶς ὑμῖν ἐστι σωθῆναι. 3. ἐκεῖνος ὁ ἀνὴρ ἡμᾶς ἄξει ὁδὸν[1] ὑποζυγίοις πορεύεσθαι δυνατήν. 4. ἐπὶ ταῖς βασιλέως θύραις[2] δυνατὸν ἦν πολλὴν μὲν σωφροσύνην μαθεῖν, αἰσχρὸν δὲ οὐδὲν ἀκοῦσαι. 5. ὑμᾶς ὅτι ἤρξατε τοῦ δια-βαίνειν πιστοτάτους νομίζει. 6. οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἔμαθον ἄρχειν τε καὶ ἄρχεσθαι. 7. τὸ φυλάξαι τὰ ἀγαθὰ χαλεπώτατόν ἐστιν. 8. ἀξιώτατος ἦν ὁ Κῦρος ταῦτα λαβεῖν. 9. πάντες ἐβούλοντο περι-γενέσθαι τῶν πολεμίων. 10. τὸ τοῦ πολέμου πεπαῦσθαι ἡδὺ ἦν ἐκείνοις τοῖς ἱππεῦσι τῶν παιδίων ἕνεκα.

266. 1. Flight[3] is much safer for the cavalry than for the hoplites. 2. It is pleasant to have many possessions.

---

[1] Cf. 227, 1, n. 2. [2] *At the court of the king.* [3] Use the infinitive.

Digitized by Google

3. It will not[1] be possible to see anything[1] base at Cyrus' court. 4. It was necessary to arrive at[2] the camp for the sake of deliberating. 5. On account of his having spoken the truth[3] he was able to persuade those citizens.

267. VOCABULARY

αἰσχρός, ά, όν, adj., *base, shameful.*
ἅμα, adv., *at the same time.*
ἡ ἀνάγκη, *necessity;* **ἀνάγκη ἐστί**, *it is necessary.*
ἐκεῖνος, η, ο, *that.* Used as **οὗτος**, *this*, w. article; also, *he.*
ἕνεκα, prep. w. gen., *for the sake of, because of* (following its noun like Latin *causā*).
ἡ θύρα, *gate, door.*
μανθάνω, μαθήσομαι, 2d aor. **ἔμαθον, μεμάθηκα**, *learn.*
οὐδείς, οὐδεμία, οὐδέν, *not any, no.* Cf. **εἷς.**
σώζω, σώσω, ἔσωσα, σέσωκα, σέσω-(σ)μαι, ἐσώθην, *save.*
τὸ ὑποζύγιον, *beast of burden, pack animal.*

---

[1] *not anything, nothing.* [2] *to.* [3] Use the aorist infinitive.



Digitized by Google

LESSON XXV

PARTICIPLES — GENITIVE ABSOLUTE

268. Learn the Participles, Active, Middle, and Passive, of **λύω** (516–18), and **εἰμί** (528), and the Second Aorist of **λείπω** (519).

269. Learn the declension of the participles (505).

a. Notice that the present and future active participles in **ων** are declined and accented like **ἄκων** (page 60, 2), the second aorist like **ἑκών** (213).

b. Cf. the first aorist active participle with **πᾶς**, the first aorist passive participle with **χαρίεις** (213).

c. The other middle and passive participles are declined and accented like adjectives in **ος, η, ον.**

d. In all participles the vocative is like the nominative.

270. Accent. — The perfect and second aorist active, aorist and perfect passive participles, do not follow the rule of recessive accent (24). The first three are oxytone.

271. MODEL SENTENCES

a. **οἱ πρέσβεις οἱ ὑπὸ Φιλίππου πεμφθέντες ἀφ-ἵκοντο,** *the envoys* (which were) *sent by Philip arrived.*

β. **οἱ παρ-όντες τῶν πολῑτῶν εἶπον,** *those of the citizens* (who were) *present said.*

γ. **ἐλθοῦσα εἰς λόγους ἔλεξε τάδε,** *when she had entered into conversation with him she spoke as follows.*

δ. **ἐγὼ μὲν τοίνυν ἄπ-ειμι ξένιά σοι παρα-σκευάσων,** *I'm off, then, to prepare an entertainment for you.*

ε. **ἠπίστησεν ἂν ἀκούσᾱς,** *if he had heard he would have disbelieved.*

Digitized by Google

a. Observe that the participle in *α* is used like an attributive adjective; in *β* **παρ-όντες** is used with the article, substantively. In both cases we may translate by a relative and a finite verb. This is called the *Attributive* use of the participle.

b. Observe that **ἐλθοῦσα** in *γ* is equivalent to a clause of time, and **παρα-σκευάσων** in *δ* expresses purpose. The participle may express also a condition as in *ε*, or any other circumstance of the verb, as cause, manner, concession, etc.; hence it may be called the *Circumstantial* participle.

c. The time of the participle is relative to that of the leading verb.

272. MODEL SENTENCES

a. **πονηρὰ τάξις ἐστὶ πολεμίων ἑπομένων,** *it is a poor arrangement if* (or *when*) *enemies are following* (*enemies following*).

β. **τούτων δὲ τοιούτων ὄντων, οὐκ ἐθέλω ἄγειν,** *since this is so* (*these things being such*) *I do not care to lead.*

a. Notice that the participle is used in the above sentences with the genitives **πολεμίων** and **τούτων,** in an independent construction corresponding to the Latin *ablative absolute.* In *β* the *genitive absolute* expresses the cause of **οὐκ ἐθέλω.** It may also express time or concession, as in Latin.

273. Rule of Syntax. — A noun and a participle not grammatically connected with the main construction of the sentence may stand by themselves in the genitive. This is called *Genitive Absolute.*

Digitized by Google

274. TRANSLATE: 1. ἁρπάζων, ἁρπάσᾱς, ἡρπακώς, ἁρπασθείς. 2. ἰδών, γενόμενος, λελυμένος, ἀθροισάμενος. 3. τοῖς ἐλθοῦσι, τῇ λεξάσῃ. 4. τὸν παρ-όντα, οἱ ἐπι-βεβουλευκότες. 5. τοῦτο πράττων εἶπε. 6. τοῦτο πράξᾱς εἶπε. 7. πορευόμενοι φυλάξουσι. 8. πορευθέντες φυλάξουσιν. 9. ἧκει παιδευθησόμενος. 10. ἧκε παιδευθησόμενος.

275. 1. ὁ Κῦρος ἀπ-ῆλθε κινδῡνεύσᾱς καὶ ἀτῑμασθεὶς ὑπὸ τοῦ ἀδελφοῦ. 2. ἀπ-ελθὼν ἐπὶ τὴν ἀρχὴν ἐπ-εβούλευε βασιλεῖ τῷ ἀδελφῷ ὡς[1] βασιλεύσων ἀντ'[2] ἐκείνου. 3. Πρόξενον δέ, ξένον ὄντα, ἐκέλευσε λαβόντα ἄνδρας ὡς πλείστους ἐλθεῖν. 4. ἐντεῦθεν ἐπορεύθησαν σταθμοὺς τέτταρας, τὸν ποταμὸν ἐν ἀριστερᾷ ἔχοντες. 5. ἐξέτασιν δὲ πάντων τοῦ Κύρου ἔχοντος ἐν τοῖς ὅπλοις[3] ἦλθε παρὰ βασιλέως ἄγγελος λέγων ὧδε. 6. ἐκ δὲ τούτου[4] ὁ Κῦρος πάντας τοὺς στρατιώτᾱς συλ-λέξᾱς εἶπεν. 7. ἄλλα ἔστιν[5] ἃ κωλῡόμενος καὶ ὑπὸ μητρὸς καὶ ὑπὸ πατρὸς ὑπὸ τῆς φύσεως πράττειν ἠναγκαζόμην. 8. ὁ δέ, πάνυ πολλῶν βουλομένων ἕπεσθαι, οὐ πολλοὺς ἔπεμψεν αὐτῷ. 9. ἐπεὶ οὗτος εἶδε Κῦρον τεθνηκότα, ἔφυγεν ἔχων τὸ στράτευμα πᾶν ἣν ἦγε. 10. οἱ καλῶς πεπαιδευμένοι ἱκανοί εἰσιν ἄλλους διδάσκειν.

---

[1] **ὡς**, *as*, with a participle ascribes authority for the statement or intention to the subject of the sentence, not to the author himself.

[2] for **ἀντί**. [3] *under arms*. [4] Cf. 256, 2, n.

[5] Cf. 76.

Digitized by Google

276. 1. He came bringing an interpreter at Cyrus' bidding.[1] 2. He obeyed his nature which compelled[2] (him) to speak the truth. 3. If I should wish[2] to incur danger, I should follow Cyrus. 4. They were marching with that city on their left. 5. After he was dishonored by his brother, he planned to collect[3] an army and[3] take the field against him.

277. VOCABULARY

ἀναγκάζω, -σω, ἠνάγκασα, *compel, force.* Cf. **ἀνάγκη.**
ἀριστερός, ά, όν, adj., *left.*
ἀτῑμάζω, -σω, ἠτίμασα, *dishonor.*
ἕπομαι, ἕψομαι, 2d aor. **ἐσπόμην,** *follow,* w. dat.
θνήσκω, θανοῦμαι, 2d aor. **ἔθανον, τέθνηκα,** *die.*
ὅς, ἥ, ὅ, rel. pron., *who, which, that.* Cf. **515.**
πάνυ, adv., *very.* Cf. **πᾶς.**
ὁ Πρόξενος, *Proxenus.*
συλ-λέγω, -λέξω, συν-έλεξα, *collect.*
τέτταρες, τέτταρα, *four.* Cf. 508.
ἡ φύσις, εως, *nature.*
ὧδε, adv., *thus,* referring to what is to come; hence, *as follows.* (From **ὅδε,** *this, the following,* as **οὕτως** from **οὗτος,** *this, the preceding.*)

[1] *Cyrus having ordered.* [2] Participle. [3] *Having collected an army to.*



Digitized by Google

LESSON XXVI

CONTRACT VERBS IN έω — Αὐτός

278. General Statement. — Verbs in **άω, έω,** and **όω,** suffer contraction where **α, ε,** or **ο** comes before **ε** or **ο** of the tense stem, as **ποιέετε, ποιεῖτε; τῑμάομεν, τῑμῶμεν.**

279. Learn the entire present system active and passive of **ποιέω** (522).

a. Notice that (1) when **ε** comes before **ε** the resulting contracted syllable is **ει**; (2) when **ε** comes before **ο,** the resulting contracted syllable is **ου**; (3) before **ω** or a diphthong, **ε** is absorbed, as **ποιέωμεν, ποιῶμεν; φιλέοιμεν, φιλοῖμεν.**

280. Accent of Contracted Words. — A contracted syllable is accented if either of the original syllables had an accent. A contracted penult or antepenult is accented regularly (19, 20). A contracted ultima is circumflexed, unless the original word was oxytone.

a. Compare the contracted and uncontracted forms of **ποιέω** and prove these rules.

281. MODEL SENTENCES

α. **σατράπης ἐποιεῖτο ὧν τε αὐτὸς πρόσθεν ἦρχε,** *he was made satrap of* (the places) *which he himself formerly ruled.*

β. **παρ-ετίθεσαν ἐπὶ τὴν αὐτὴν τράπεζαν κρέᾱ πολλά,** *they placed many meats upon the same table.*

γ. **ἐσατράπευε δ' αὐτῷ ταύτης τῆς χώρᾱς Ζῆνις,** *and Zenis was satrap of this land for him.*

Digitized by Google

a. Observe in *α* the fundamental meaning of **αὐτός**, like the Latin *ipse;* in *β*, however, when preceded by the article, **αὐτός** means *same*. The English order will be a help in remembering this, **ὁ αὐτὸς ἀνήρ**, *the same man*, but **ὁ ἀνὴρ αὐτός**, *the man himself*.

b. Observe in *γ* an example of the most common use of **αὐτός**, in all cases but the nominative, as a personal pronoun. Thus **αὐτός** combines the meanings of *is*, *ipse*, and *īdem*. For declension see 510.

282. TRANSLATE:[1] 1. πολεμεῖ, ἐπολέμει, πολέμει. 2. ἀφ-ικνοῦνται, ἀφ-ῑκνοῦντο. 3. ᾑροῦ, αἱροῦ, ᾖρουν. 4. ἵνα ποιοῖεν, ἵνα ποιῶσιν, ἵνα ποιῶνται. 5. οἱ ἀδικοῦντες, ταῖς ἀδικουμέναις. 6. ἐπ-αινεῖν, ἐπ-αινεῖσθαι. 7. ἐὰν δοκῇ, δοκοίη ἄν. 8. αἱρούντων, αἱρεῖσθων. 9. ἐποίουν, ἐποιεῖτο. 10. ἂν ἡγῶνται, εἰ ἡγοῖτο.

283. 1. ὁ δὲ λαβὼν τὰ χρήματα, συλ-λέξᾱς στράτευμα ἐπολέμει τοῖς Θρᾳξί. 2. πορευόμενοι ἀφ-ικνοῦνται ἅμα τῇ ἡμέρᾳ[2] πρὸς τὸ ὄρος. 3. Χειρίσοφος μὲν ἡγεῖτο τοῦ στρατεύματος λαβὼν τοὺς γυμνῆτας πάντας, Ξενοφῶν δὲ σὺν τοῖς ὁπλίταις εἵπετο[3] οὐδένα ἔχων γυμνῆτα. 4. καὶ νῦν, ὦ ἄνδρες, ἀπ-ελθόντες αἱρεῖσθε ἄρχοντας. 5. ἄρχοντας ἑλόμενοι ἥκετε εἰς τὸ μέσον τοῦ στρατοπέδου καὶ τοὺς αἱρεθέντας ἄγετε. 6. ἐδόκει αὐτοῖς στρατηγοὺς αἱρεῖσθαι ἄλλους. 7. τὸν μὲν καλῶς ποιοῦντα ἐπ-αινεῖ, τὸν δὲ ἀδικοῦντα οὐκ ἐπ-αινεῖ. 8. καὶ αὐτοὶ πολλάκις ἐβουλεύοντο περὶ

[1] The pupil should be able to give readily the original uncontracted form.
[2] *at the same time with the day, at daybreak.* [3] imperf. of ἕπομαι.

Digitized by Google

τῆς πορείας. 9. τὰ αὐτὰ ἡμῖν δοκεῖ ἃ καὶ βασιλεῖ. 10. μὴ δρόμῳ ἡγήσῃ, ἀλλὰ τὴν ταχίστην ὁδὸν ἵνα τὸ στράτευμα ἕπηται ἡγοῦ.

284. 1. Do not do that often. 2. For they did not seem to be warring with him, but with the satrap. 3. At daybreak the generals led the light-armed troops to the same place. 4. Often those who do wrong[1] are themselves also wronged. 5. You chose him ruler, that he might lead you home as soon as possible.

285. VOCABULARY

ἀδικέω, ἀδικήσω, ἠδίκησα, *do wrong, wrong.*

αἱρέω,[2] **αἱρήσω,** 2d aor. **εἷλον, ᾕρηκα, ᾕρημαι, ᾑρέθην,** *seize;* mid. **αἱροῦμαι,** *choose.*

ἀπ-έρχομαι, 2d aor. **ἀπ-ῆλθον, ἀπ-ελήλυθα,** *go away, go back.*

ὁ γυμνής, γυμνῆτος, *light-armed soldier.*

δοκέω, δόξω, ἔδοξα, δέδογμαι, ἐδόχθην, *seem, seem best, think.*

ἐπ-αινέω,[3] **ἐπ-αινέσω, ἐπ-ήνεσα,** *praise.*

ἡγέομαι, ἡγήσομαι, ἡγησάμην, *lead the way, lead, command,* used with both gen. and dat.; also *think.*

πολεμέω, πολεμήσω, ἐπολέμησα, *make war on, fight.* Cf. **πόλεμος.**

πολλάκις, adv., *often.* Cf. **πολύς.**

ἡ πορεία, *journey, march.*

NOTE. — From this point proper names will not be given in the small vocabularies, but must be found in the general vocabulary at the end of the book. The pupil should be able to transcribe the Greek name into the equivalent English word, and not glance at his vocabulary every time the name is to be spoken.

---

[1] *Those who do wrong*, two words.

[2] The aor. pass. is **ᾑρέθην**, not **ᾑρήθην**, as you would expect, for most verbs in a short vowel lengthen that vowel in all forms after the present; as **ποιέω, ποιήσω, ἐποίησα, πεποίηκα, πεποίημαι, ἐποιήθην.**

[3] Exception; that is, it does not lengthen the vowel.

Digitized by Google

*286. READING EXERCISE

HOW A WOMAN BECAME SATRAP

For Vocabulary see page 231

Ἡ δὲ Αἰολὶς αὕτη ἦν μὲν Φαρναβάζου, ἐσατράπευε δ' αὐτῷ ταύτης τῆς χώρας Ζῆνις· ἐπεὶ δ' ἐκεῖνος ἀπέθανε παρεσκευάζετο μὲν ὁ Φαρνάβαζος ἄλλῳ δοῦναι (*to give*) τὴν σατραπείαν. Μανία δέ, ἡ γυνή, δῶρα λαβοῦσα[1] ἐπορεύετο πρὸς αὐτόν. ἐλθοῦσα[2] δὲ εἰς λόγους εἶπεν· Ὦ Φαρνάβαζε, ὁ ἀνὴρ ὁ ἐμὸς καὶ τἆλλα[3] φίλος ἦν σοι, καὶ τοὺς δασμοὺς ἀπεδίδου,[4] ὥστε σὺ πολὺ αὐτὸν ἐτίμας (for ἐτίμαες). ἐὰν οὖν ἐγώ σοι μηδὲν χεῖρον[5] ἐκείνου ὑπηρετῶ, τί σε δεῖ ἄλλον σατράπην ποιεῖν; ἦν δέ τι μὴ ἀρέσκω (*please*) σοι, ἐπὶ σοὶ[6] δήπου (*of course*) ἔσται ἀφελέσθαι[7] ἐμὲ τὴν ἀρχήν.[8] ἀκούσαντι δὲ ταῦτα τῷ Φαρναβάζῳ ἔδοξε δεῖν[9] τὴν γυναῖκα σατραπεύειν. ἡ δὲ ἐπεὶ κυρία τῆς χώρας ἐγένετο, τοὺς δασμοὺς οὐδὲν ἧττον[5] τοῦ ἀνδρὸς[10] ἀπεδίδου, καὶ πρὸς (*in addition*) τούτοις συνεστρατεύετο τῷ Φαρναβάζῳ ὁπότε εἰς Μυσοὺς ἢ Πισίδας ἄγοι. ὥστε καὶ ἀντετίμα (for ἀντετίμαε) αὐτὴν μεγάλα[11] ὁ Φαρνάβαζος, καὶ σύμβουλον[12] πολλάκις παρεκάλει.

---

[1] From **λαμβάνω**. [2] From **ἔρχομαι**. [3] By crasis for **τὰ ἄλλα**.
[4] 3d sing. impf. act., **ἀπο-δίδωμι**, *give what is due, pay*.
[5] 233, 221. [6] *in your power*. [7] From **ἀφ-αιρέω**.
[8] 253. [9] *decided that the woman should be*, etc.
[10] 180. [11] adv. 232. [12] In apposition with **αὐτήν**.



Digitized by Google

*LESSON XXVII

CONTRACTED ADJECTIVES AND NOUNS — TIME

287. Many adjectives and nouns in which **ε** or **ο** precedes the **ο** or **α** of the stem are contracted in all their cases.

288. Learn the declension of **χρύσεος**, *golden*, **ἀργύρεος**, *of silver*, and **ἁπλόος**, *simple* (504).

a. Observe (1) that with the exception of the nominative and accusative duals in **ω**, all the contracted forms circumflex the ultima; (2) **εο** and **οο** contract into **ου**, **εα** and **οη** into **η**; but if **ρ** precedes, **εα** becomes **ᾱ**, as always in dual and plural forms, where **ε** and **ο** disappear before **α**; (3) a vowel is absorbed before a diphthong beginning with the same vowel, so **ε** before **οι** and **αι**; in other cases as in verbs, a vowel is contracted with the first vowel of the diphthong, while the second vowel disappears (except **ι**, which remains as *iota subscript*).

289. Like the masculine of **ἁπλόος** are declined masculine nouns in **οος**, as (**νόος**) **νοῦς**, *mind*, voc. **νοῦ**; neuters in **εον** are declined like the neuter of **χρύσεος** or **ἀργύρεος**, as (**ὀστέον**) **ὀστοῦν**, *bone*.

290. Nouns of the A-declension in **εα** follow the declension of the feminine of **χρύσεος** and **ἀργύρεος**. Nouns in **αα** contract the first **α** with the following syllable, as (**μνάᾱ**) **μνᾶ**, (**μνάᾱς**) **μνᾶς**, *mina*.

291. Decline (**νόος**) **νοῦς**, *mind*, (**πλόος**) **πλοῦς**, *voyage*, (**ὀστέον**) **ὀστοῦν**, *bone*, (**γέᾱ**) **γῆ**, *land* (sing. only).

Digitized by Google

292. MODEL SENTENCES

a. **ἡμέραις δὲ τριάκοντα ὕστερον Ἀλκιβιάδης νυκτὸς ἀπ-έδρᾱ**, *but thirty days later* (*later by thirty days*) *Alcibiades escaped by night.*

β. **τῇ δὲ ὑστεραίᾳ Ἀλκιβιάδης ἦκεν**, *and on the next day Alcibiades returned.*

γ. **ταύτην μὲν τὴν ἡμέρᾱν ἔμειναν**, *they remained throughout that day.*

a. Observe the different cases used in *a* and *β* to express time *within which* and time *when*, and compare with the Latin cases. **ἡμέρᾱν** in *γ* denotes *extent* of time. This construction you have had, in 61.

b. For the case of **ἡμέραις** in *a* see 300.

293. Rules of Syntax. — The Genitive is used to denote *time within which*, the Dative to denote *time when*, and the Accusative, as in Latin, to denote *time how long*, or *extent of time.*

294. TRANSLATE: 1. ὑμῶν δὲ στέφανον ἑκάστῳ χρῡσοῦν πέμψω. 2. μετὰ ταῦτα τὸν ἡγεμόνα οἱ Ἕλληνες ἀπο-πέμπουσι δῶρα ἔχοντα, ἵππον καὶ φιάλην ἀργυρᾶν καὶ δᾱρεικοὺς δέκα. 3. ἐνταῦθα ἦν ἡ γῆ πεδίον. 4. λέξατε οὖν τί ἐν νῷ ἔχετε. 5. ὁ τοῦ Ξενοφῶντος λόγος ἁπλοῦς ἦν. 6. ἡμέρᾱς καὶ νυκτός τὸ αὐτὸ ποιεῖτε. 7. τῇ δὲ ὑστεραίᾳ προσ-ἦγον αὐτοὺς εἰς τὴν στρατιάν. 8. ἐνταῦθα τὴν ὑστεραίᾱν ἀν-εχώρουν πάλιν εἰς τὰς κώμᾱς ἃς οὐκ ἔκαυσαν. 9. ἐὰν βασιλεὺς δέκα ἡμερῶν μὴ μάχηται, ὑπ-ισχνεῖται ὁ Κῦρος δᾱρεικοὺς τρισχῑλίους τῷ ἀληθεύσαντι ἀνδρί.

Digitized by Google

10. ἐκείνῃ τῇ νυκτὶ ἀπ-έθανεν ὑποζύγια τρία. 11. ἀν-εχώρει οὖν νυκτὸς ἡ στρατιὰ τὴν ῥᾴστην ὁδόν.[1]

295. 1. What did the Greeks have in mind on that day? 2. The golden crowns seem to be of great value.[2] 3. Let us promise three silver cups and twenty darics if they withdraw in five days. 4. Each (man) was compelled to follow for two days. 5. So there were 3000 light-armed troops in the army.

296. VOCABULARY

ἀνα-χωρέω, -χωρήσω, -εχώρησα, *withdraw, retreat.*

ἀπο-θνήσκω, *die,* more common than the simple verb.

ὁ δᾱρεικός, *daric,* about $5.40.

ἕκαστος, η, ον, adj., *each, every.*

οὖν, adv., *then, so,* post-positive.

ὁ στέφανος, *crown.*

ἡ στρατιᾱ́, *army.* Cf. **στράτευμα.**

τρεῖς, τρία, adj., *three;* cf. 508.

τρισχίλιοι, αι, α, adj., *three thousand.*

ὑπ-ισχνοῦμαι, ὑπο-σχήσομαι, 2d aor. **ὑπ-εσχόμην, ὑπ-έσχημαι,** *promise.*

ὑστεραῖος, ᾱ, ον, adj., *following;* **ἡ ὑστεραίᾱ,** sc. **ἡμέρᾱ,** *the following day.*

ἡ φιάλη, *cup.*

---

[1] The acc. to denote the ground over which one passes (cf. 283, 10) is connected with the *cognate accusative*, which repeats the idea already contained in the verb; **ἀρχὴν ἄρχειν,** *to hold an office.* So often with an adj.; **μεγάλα ἁμαρτάνειν,** *to commit great faults.*

[2] *worth(y of) much.*

Digitized by Google

LESSON XXVIII

DIGAMMA[1] NOUNS OF THE CONSONANT DECLENSION —DATIVE OF CAUSE AND MEANS

297. Review the declension of **ἐκεῖνος, οὗτος, ἄλλος,** the relative pronoun, and the article (509, 513, 515).

298. PARADIGMS

	βοῦς, ὁ, ἡ, OX, COW. (βου-)	γραῦς, ἡ, OLD WOMAN. (γραυ-)	ναῦς, ἡ, SHIP. (ναυ-)
		SINGULAR	
N.	βοῦς	γραῦς	ναῦς
G.	βοός	γρᾱός	νεώς
D.	βοΐ	γρᾱΐ	νηΐ
A.	βοῦν	γραῦν	ναῦν
V.	βοῦ	γραῦ	ναῦ
		PLURAL	
N. V.	βόες	γρᾶες	νῆες
G.	βοῶν	γρᾱῶν	νεῶν
D.	βουσί	γραυσί	ναυσί
A.	βοῦς	γραῦς	ναῦς

299. MODEL SENTENCES

α. **τούτοις ἥσθη Κῦρος,** *Cyrus was pleased with these.*

β. **τὸ ὑπο-λειπόμενον ἤρξατο δρόμῳ θεῖν,** *the part left behind began to go forward on the run.*

γ. **ταῖς ἀσπίσι πρὸς τὰ δόρατα ἐδούπησαν,** *they pounded with their shields on their spears.*

---

[1] So called because in early Greek the stems ended in the primitive *vau* or *digamma* (ϝ). Cf. Lat. *bos, bov-is.*

Digitized by Google

δ. **αἱ γὰρ τριήρεις τῶν Ἀθηναίων πολλῷ πλέονες ἦσαν,** *for the triremes of the Athenians were far more numerous* (*by much*).

a. Notice the case used above to express the *cause*, *manner*, and *means*. How are these expressed in Latin? What other case in Greek takes some of the uses of the Latin case?

b. Observe that **πολλῷ**, though dative of manner, also expresses the degree of difference with **πλέονες**.

300. Rule of Syntax. — The Dative is used to denote the *cause*, *manner*, and *means* or *instrument*. The dative of manner is used with comparatives to denote the *degree of difference*.

301. TRANSLATE: 1. *ἐπὶ τῶν νεῶν τῶν εἰς τὸν Πόντον πλεουσῶν εὑρίσκοντο πολλαὶ βίβλοι γεγραμμέναι.* 2. *καὶ Κύρῳ παρ-ῆσαν αἱ ἐκ Πελοποννήσου νῆες τριάκοντα καὶ πέντε.* 3. *ναῦς ἄλλᾱς εἶχε Κύρου πέντε καὶ εἴκοσιν αἷς ἐπολιόρκει Μίλητον.* 4. *ἡ στρατιὰ ἐκ τῶν ὑποζυγίων ἔκοψε τοὺς βοῦς.* 5. *ἐν δὲ ἐκείναις ταῖς οἰκίαις ἦσαν βόες καὶ ὄρνῑθες.* 6. *ἀργύριον μὲν οὐκ ἔχω, βοῦς δὲ ἑξακοσίους· τούτους οὖν λαβὼν ἀνα-χώρει.* 7. *τὴν μὲν ἑτέρᾱν ναῦν ἐδίωκον καὶ τῇ αὐτῇ ἡμέρᾳ κατ-έλαβον· ἡ δὲ ἑτέρᾱ ναῦς δι-έφυγεν, εἰς τὰς Ἀθήνᾱς ἀφ-ικομένη.* 8. *ἡ βασίλεια προτέρᾱ Κύρου πέντε ἡμέραις ἀφ-ίκετο.* 9. *ὁ Ξενοφῶν ἤδετο τῷ ἵππῳ τούτῳ.* 10. *ὁ στρατηγὸς λῑμῷ ἀπ-έθανε.*

302. 1. For the sake of this harbor he sent for the ships. 2. With thirty-five ships, the best sailing (ones),

Digitized by Google

they besieged that city. 3. Cyrus is pleased with the ship that he found there. 4. They seized the hill two days before[1] the enemy. 5. After sacrificing the oxen they killed the other animals because of great hunger.

303. VOCABULARY

δια-φεύγω, -φεύξομαι and **-φευξοῦμαι, -έφυγον, πέφευγα**, *escape*.
ἑξακόσιοι, αι, α, adj., *six hundred*.
ἕτερος, ᾱ, ον, adj., *the other; the one, the other*. Cf. Lat. *alter*.
ἥδομαι, ἡσθήσομαι, ἥσθην, *be glad, enjoy*. Cf. **ἡδύς**.
κατα-λαμβάνω, *seize upon, capture*.
κόπτω, κόψω, ἔκοψα, *cut, kill*.
ὁ λῑμός, *hunger*.
ἡ οἰκῑ́ᾱ, *house*.
πλέω, πλεύσομαι, ἔπλευσα, *sail*.
πολιορκέω, ήσω, etc., *besiege*.
πρότερος,[2] **ᾱ, ον**, adj., *former, earlier*.
τριάκοντα, indecl. *thirty*.

***304.** READING EXERCISE

For Vocabulary see page 231

(*a*) FROM HECUBA'S SPEECH TO HER MAIDENS

Ἄγετ' ὦ παῖδες τὴν γραῦν πρὸ δόμων,
ἄγετ' ὀρθοῦσαι τὴν ὁμόδουλον,
Τρῳάδες, ὑμῖν,[3] πρόσθεν δ' ἄνασσαν.[4]
λάβετε, φέρετε, πέμπετ', ἀείρετέ μου
γεραιᾶς χειρὸς[5] προσ-λαζύμεναι.[6]

(*b*) FROM LYSIAS' ORATION ON THE OLIVE STUMP — **περὶ τοῦ Σηκοῦ**

Ἦν μὲν γὰρ τοῦτο Πεισάνδρου τὸ χωρίον, δημευθέντων τῶν ὄντων[7] δ' ἐκείνου, Ἀπολλόδωρος ὁ Μεγαρεὺς δωρεὰν παρὰ τοῦ δήμου λαβὼν τὸν μὲν ἄλλον χρόνον[8] ἐγεώργει,

---

[1] Cf. 301, 8.

[2] The adjective is often used where in English we should employ an adverb.

[3] 236. [4] **βασίλειαν**. [5] *taking me by my aged arm*, 187, *a*.

[6] Poetic for **προσ-λαμβάνουσαι**.

[7] Neut. pl. of **ὤν**, *effects, property*. [8] 293.

Digitized by Google

ὀλίγῳ[1] δὲ πρὸ τῶν τριάκοντα[2] Ἀντικλῆς παρ' αὐτοῦ πριάμενος[3] ἐξεμίσθωσεν· ἐγὼ δὲ παρ' Ἀντικλέους εἰρήνης οὔσης ἐωνούμην. ἡγοῦμαι τοίνυν, ὦ βουλή, ἐμὸν ἔργον[4] ἀποδεῖξαι (*to show*) ὡς, ἐπειδὴ τὸ χωρίον ἐκτησάμην, οὔτ' ἐλαία οὔτε σηκὸς ἐν-ἦν ἐν αὐτῷ. τοῦ γὰρ μὲν προτέρου χρόνου,[5] οὐδ' εἰ πάλαι ἐν-ἦσαν μυρίαι, οὐκ ἂν δικαίως ἐζημιούμην·[6] πάντες γὰρ ἐπίστασθε (*know*) ὅτι ὁ πόλεμος καὶ ἄλλων πολλῶν αἴτιος κακῶν γεγένηται, καὶ τὰ μὲν πόρρω[7] ὑπὸ Λακεδαιμονίων ἐτέμνετο, τὰ δ' ἐγγὺς[7] ὑπὸ τῶν φίλων διηρπάζετο· ὥστε πῶς ἂν δικαίως ὑπὲρ τῶν τῇ πόλει γεγενημένων συμφορῶν ἐγὼ νυνὶ δίκην διδοίην;[8] ἄλλως[9] τε καὶ τοῦτο τὸ χωρίον ἐν τῷ πολέμῳ δημευθὲν[10] ἄπρακτον ἦν πλέον ἢ τρία ἔτη.

---

[1] 300, end. [2] *i.e.* the famous "Thirty Tyrants," B.C. 404.
[3] Used as 2d aor. of **ὠνέομαι**.
[4] Subj. of **εἶναι** to be supplied after **ἡγοῦμαι**.
[5] Gen. of cause. [6] 205. For inflection see 524.
[7] Take with **τὰ μέν, τὰ δ'**, *the parts remote from the city, the parts near.*
[8] Pres. act. opt., **δίδωμι**, *give.* [9] **ἄλλως τε καί**, *especially as.*
[10] Neut. of **δημευθείς**.

Λέων καὶ Βοῦς.

Digitized by Google

LESSON XXIX

INDIRECT DISCOURSE — Φημί

305. Learn the Present and Imperfect Indicative of **φημί** (531). Review the rules for Enclitics (72–75).

306. A *direct* quotation gives the exact words of the original speaker or writer; as, *I shall go to-morrow.* In an *indirect* quotation the original words conform to the construction of the sentence in which they are quoted; as, *He said that he should go to-morrow.*

307. Indirect quotations may be expressed by **ὅτι (ὡς)**, *that*, and a finite verb, or by the infinitive; and sometimes by the participle.

a. The participle in indirect discourse will be treated in Lesson XLIX.

308. Remark. — Of the three most common words meaning *to say*, —

(*a*) **εἶπον** regularly takes **ὅτι (ὡς)** and a finite verb.
(*b*) **φημί** regularly takes the infinitive.
(*c*) **λέγω** allows either construction, but when active generally takes **ὅτι** or **ὡς**.
(*d*) **οἶομαι, ἡγέομαι, νομίζω,** and **δοκέω,** *think*, *believe*, regularly take the infinitive.

NOTE. — It is to be remarked that the only form of indirect discourse in Latin is that with the infinitive. In this principle of syntax the two languages differ.

Digitized by Google

309. MODEL SENTENCES

I. Simple Sentences.

A. **λέγω** or **εἶπον.**

a. Direct Statement. **Κῦρος τοῦτο**

πράττει,	*Cyrus does this.*
πράξει,	*Cyrus will do this.*
ἔπρᾱξε,	*Cyrus did this.*

β. **λέγει ὅτι Κῦρος τοῦτο**

πράττει, πράξει, ἔπρᾱξε,	*he says that Cyrus does (will do, did) this.*

γ. **ἔλεξεν (εἶπεν) ὅτι Κῦρος τοῦτο**

πράττοι or **πράττει, πράξοι** or **πράξει, πράξειε** or **ἔπρᾱξε,**	*he said that Cyrus was doing (would do, did* or *had done) this.*

B. **φημί.**

δ. **φησὶ Κῦρον τοῦτο**

πράττειν, πράξειν, πρᾶξαι,	*he says that Cyrus does (will do, did) this.*

ε. **ἔφη Κῦρον τοῦτο**

πράττειν, πράξειν, πρᾶξαι,	*he said that Cyrus was doing (would do, had done) this.*

ζ. **Κῦρος ἔφη τοῦτο πράττειν, πράξειν, πρᾶξαι,** *Cyrus said that he* (Cyrus) *was doing, should do, had done* or *did, this.*

a. Notice that the form of the direct statement *a* is retained after **λέγει ὅτι** in *β*, but in *γ* either is changed to the corresponding tense of the optative or is kept to reproduce vividly the original words of the speaker.

b. Compare the forms used in *δ* and *ε* with those of *a*, and notice the case of the subject of **πράττειν,** etc. The

Digitized by Google

subject of **πράττειν** in ζ is omitted, because it is the same as that of **ἔφη**.

310. Rule for Simple Sentences in Indirect Discourse. — In indirect quotations introduced by **ὅτι** or **ὡς**, after primary tenses an indicative retains both its mood and its tense; after secondary tenses it either is changed to the same tense of the optative or is retained in the original mood and tense. When the quotation follows a verb that takes the infinitive (308), after both primary and secondary tenses the indicative of the direct discourse is changed to the same tense of the infinitive. The subject of the infinitive is omitted when it is the same as the subject or object of the leading verb.

311. TRANSLATE: 1. *φησί, ἔφη, φᾱσί.* 2. *ἔφαμεν, φατέ, ἔφην.* 3. *φής, ἔφατε, ἔφασαν.* 4. *ἔφησθα ποιεῖν, ἔφησθα ποιήσειν.* 5. *Κῦρός φησι θαυμάζειν, θαυμάσαι.* 6. *ἔφασαν αὐτοὺς ἔπεσθαι.* 7. *ἔλεξεν ὅτι θαυμάσειεν.* 8. *ἔλεξεν ὅτι θαυμάζοι.* 9. *λέξει ὅτι ἐθαύμασεν.*

312. 1. You are saying, you were saying, they said. 2. I say, we said, he says. 3. They say, they said, I said. 4. He says that he sent, he says that he will send. 5. They said that he was king, they said that he would be king.

NOTE. — If the pupil will learn at the outset to determine for himself the original words of the speaker, he will not find indirect discourse difficult. In the last sentence above, the point to be ascertained is what they really said: "he is king," or "he was king"; "he will be king," or "he would be king."

Digitized by Google

LESSON XXX

INDIRECT DISCOURSE (*Continued*)

313. MODEL SENTENCES

II. Complex Sentences.

η. ἐὰν Κῦρος τοῦτο πρᾶττῃ, καλῶς ἕξει, *if Cyrus does this, it will be well.*

θ. ἔλεξεν (εἶπεν) ὅτι εἰ Κῦρος τοῦτο πρᾶττοι, καλῶς ἕξοι, *he said that if Cyrus did this, it would be well.*

ι. ἔφη εἰ Κῦρος τοῦτο πρᾶττοι, καλῶς ἕξειν, *he said that if Cyrus did this, it would be well.*

κ. (λέγει ὅτι) εἰ Κῦρος τοῦτο πράξειε, καλῶς ἂν ἔχοι, *(he says that) if Cyrus should do this, it would be well.*

λ. ἔλεξεν ὅτι εἰ Κῦρος τοῦτο πράξειε, καλῶς ἂν ἔχοι, *he said that if Cyrus should do this, it would be well.*

μ. ἔφη εἰ Κῦρος τοῦτο πράξειε, καλῶς ἂν ἔχειν, *he said that if Cyrus should do this, it would be well.*

a. Observe that when πρᾶττῃ becomes πρᾶττοι after a secondary tense, the ἄν in ἐάν is lost; but the ἄν in the apodosis is retained even when the verb becomes the infinitive (ἂν ἔχειν in μ).

***314. Rules for Complex Sentences in Indirect Discourse.** — (*a*) The leading verb follows the rule for simple sentences (310).

Digitized by Google

(*b*) After primary tenses the dependent verbs retain the same mood and tense. After secondary tenses dependent verbs may either be changed to the *same tense* of the optative, or retain their original mood and tense; but *secondary tenses of the indicative* are never changed to the optative.

(*c*) When a subjunctive becomes optative, **ἄν** is dropped, **ἐάν, ὅταν,** etc. becoming **εἰ, ὅτε,** etc.

315. TRANSLATE: 1. ἐκ δὲ τούτου οἱ τριάκοντα οὐκέτι ἐνόμιζον τὰ πράγματα εἶναι ἀσφαλῆ. 2. οὗτος προπέμψᾱς ἑρμηνέᾱ εἶπεν ὅτι βούλοιτο σπονδὰς ποιήσασθαι. 3. εἰ ἐπὶ βασιλεῖ γενησόμεθα,[1] τί οἰόμεθα πείσεσθαι; 4. ἐλέγετο γὰρ καὶ πρόσθεν Τήρης ἐν ταύτῃ τῇ χώρᾳ πολὺ ἔχων στράτευμα ὑπὸ τούτων τῶν ἀνδρῶν τὰ σκευοφόρα[2] ἀφ-αιρεθῆναι. 5. ἔλεξεν ὅτι εἰ Ἀγησίλᾱος ἔλθοι σὺν αὐτῷ, τὸν τῶν Παφλαγόνων βασιλέᾱ εἰς λόγους ἄξοι καὶ σύμμαχον ποιήσοι. 6. οὕτω[3] γὰρ ἔφη οἴεσθαι τοὺς θεοὺς εὐμενεστάτους ἂν εἶναι. 7. οἱ δὲ Θηβαῖοι ἔλεγον ὡς εἰ νῑκήσειαν τὸ[4] περὶ τὸν βασιλέᾱ, τὸ ἄλλο πᾶν ῥᾴδιον ἔσοιτο. 8. οἱ δὲ Λάκωνες ἔλεγον ὅτι δοκεῖ πολεμεῖν. 9. ἄλλος εἶπεν ὅτι οὐ πολεμήσοντες ἥκοιεν ἀλλὰ λέξοντες ὅτι φίλοι εἰσίν.

---

[1] Fut. of **γίγνομαι.** A *more* vivid future condition.

[2] Acc. w. **ἀφ-αιρεθῆναι,** which may take two accs. in the active voice, (253).

[3] Here **οὕτω** is equivalent to *if they should do this*, i.e. *disarm*, the protasis of the condition.

[4] Supply **στράτευμα.**

Digitized by Google

316. 1. He said that Agesilaus would proceed to the country of the Paphlagonians. 2. We think that we suffered many things justly. 3. They said that the Thebans were sending soldiers forward to steal the baggage. 4. If you should send me, I think I should return with ships. 5. They said that they had done[1] this for the sake of the light armed troops.

317. VOCABULARY

ἀλλά, conj., *but.*
ἀφ-αιρέω, *take away, rob.*
εὐμενής, ές, adj., *well disposed.*
Νῦν δὲ ἴδωμεν τί γιγνώσκουσιν οἱ παρόντες. σὺ δὲ πρῶτος, ὦ Κλέαρχε, ἀπόφηναι τὴν γνώμην.

Ἐμοί γε δοκεῖ, ὦ Κῦρε, ἐκποδὼν ποιεῖσθαι τὸν ἄνδρα ὡς τάχιστα· κάκιστος γάρ ἐστι. — πάντων ταὐτὰ εἰπόντων, λαβόντες τὸν Ὀρόνταν ἐξῆγον θεράποντες. ἐπεὶ δ' ἐκ τῆς σκηνῆς ἐξήχθη, μετὰ ταῦτα οὔτε ζῶντα Ὀρόνταν οὔτε τεθνηκότα οὐδεὶς εἶδε πώποτε.

LESSON XLII

MI VERBS: τίθημι — RELATIVE AND TEMPORAL CLAUSES

409. Learn the Principal Parts and the Present and Second Aorist systems Active and Middle of **τίθημι** (525–6).

a. Notice (1) that the stem vowel is **ε**; (2) that the second aorist active imperative second person singular is **θές**; (3) that substituting **ε** for **α**, it follows the inflection of **ἵστημι**.

b. Write out the principal parts of **ἐπι-τίθημι**, *put on, inflict*, mid. *attack;* and **παρα-τίθημι**, *set beside, put before.*

410. MODEL SENTENCES

α. **ταῦτα ἃ ἔχω ὁρᾷς**, *you see these things which I have.*

β. **ἡ ζημίᾱ ἔσται θάνατος παντί τινι ὃς ἂν ἁλίσκηται**, *the penalty shall be death to every man who is caught.*

Digitized by Google

γ. ὁπότε δέοι γέφῡραν δια-βαίνειν, ἔσπευδεν ἕκαστος, *whenever a bridge was to be crossed, everybody hurried.*

δ. ὅποι ἂν ἡγῶνται, ἑπόμεθα, *wherever they lead, we follow.*

a. Observe that the antecedent of ἅ in *a* is definite; in *β* the antecedent is παντί τινι. How does that compare with ταῦτα?

b. Notice that ὁπότε δέοι is equivalent to εἴ ποτε δέοι, and ὅποι ἂν ἡγῶνται to ἐάν ποι ἡγῶνται. So ὃς ἂν ἁλίσκηται = ἐάν τις ἁλίσκηται. If we substitute these protases for the relative or temporal clauses in *β*, *γ*, and *δ*, what forms of conditions shall we have?

411. Rule of Syntax. — When the antecedent of a relative is *indefinite*, the relative clause has a conditional force, and may take the form of any of the eight conditions (380). This construction includes temporal clauses.

412. TRANSLATE: 1. *τιθέᾱσι, ἐτίθεσαν, ἔθεσαν.* 2. *τιθείς, θείς, θές.* 3. *ἐπι-τίθεται, ἐπ-έθετο, ἐπ-ετίθετο.* 4. *εἰ θεῖεν, εἰ τιθείην, θῶμεν.* 5. *τιθέναι, θεῖναι, τιθεῖσι.* 6. *τίθησι, ἐτίθεσο, ἔθου.*

413. 1. He puts, he put, he was putting. 2. To be putting, to put, to attack. 3. They attacked, let us attack, let him attack. 4. We put, we are putting, we were putting.

414. TRANSLATE: 1. *μάλιστα δὲ αἱ τράπεζαι κατὰ τοὺς ξένους ἀεὶ ἐτίθεντο· νόμος γὰρ ἦν.* 2. *παρ-ετίθεσαν αὐτοῖς ἐπὶ τὴν αὐτὴν τράπεζαν κρέᾱ παντοῖα*

Digitized by Google

σὺν πολλοῖς ἄρτοις. 3. Ἀρκὰς δέ τις, φαγεῖν δεινός,[1] λαβὼν εἰς τὴν χεῖρα ἄρτον καὶ κρέα πολλά, θέμενος ἐπὶ τὰ γόνατα ἐδείπνει. 4. εἰ τῆς νίκης ἐπι-θῡμεῖτε, θέσθε τὰ ὅπλα[2] ἐν τάξει ὡς τάχιστα. 5. οἱ πολέμιοι ἰσχῡρῶς ἐπ-ετίθεντο καὶ ἐτόξευον καὶ ἐσφενδόνων. 6. καὶ ἠναγκάζοντο οἱ Ἕλληνες σχολῇ πορεύεσθαι, καὶ πολλάκις παρ-ήγγελλεν ὁ Ξενοφῶν ὑπο-μένειν ὅτε οἱ πολέμιοι ἐπι-τιθεῖντο. 7. ὅπου ἂν μὴ ᾖ πρίασθαι, λαμβάνειν ὑμᾶς ἐκ τῆς χώρᾱς ἐᾶσομεν τὰ ἐπιτήδεια. 8. ὁ Κλέαρχος εἶπε· Δέδοικα γὰρ μὴ λαβών με δίκην ἐπι-θῇ ὁ Κῦρος ὢν[3] νομίζει ὑπ' ἐμοῦ ἠδικῆσθαι.

415. 1. Let us get under arms each man in his own line and proceed slowly. 2. If the enemy attack us, we will fight wherever we can. 3. We should not have attacked them, if they had not hindered us whenever we tried to advance. 4. Resting their shields against their knees, the soldiers remained where they were.

416. VOCABULARY

ὁ ἄρτος, *loaf of bread, bread.*
τὸ γόνυ, ατος, *knee.* Lat. *genū.*
δειπνέω, ήσω, etc., *dine.*
ἰσχῡρῶς, adv. of **ἰσχῡρός**, *strongly, violently.*
ὅπου,[4] adv., *where, wherever.*
ὅτε, adv., *when, whenever.*
παντοῖος, ᾱ, ον, adj., *of all kinds.*
σφενδονάω, ήσω, *sling.*
ἡ σχολή, *leisure;* **σχολῇ**, *slowly.*
ἡ τράπεζα, *table.*
ὑπο-μένω, etc., *wait a little, halt.*

---

[1] *a great eater* (261, b).

[2] **τὰ ὅπλα τίθεσθαι** is used of *ordering arms, grounding arms,* and *getting under arms.*

[3] **ὧν** = **τούτων ἅ**, *punishment for those things in which.*

[4] When temporal particles are used with the subjunctive, **ἄν** must be added, **ὅπου ἄν, ὅταν, ἐπάν** or **ἐπήν**, etc.

Digitized by Google

* LESSON XLIII

REVIEW OF ἵστημι AND τίθημι

417. Review the inflection of **ἵστημι** and **τίθημι** (526), comparing carefully each tense of one with the corresponding tense of the other.

418. Write a synopsis in the third person singular of both verbs in the present and second aorist tenses active and middle.

419. TRANSLATE: 1. ἱστᾶσι, τιθέᾱσι, τίθησι. 2. στῶμεν, τιθῶμεν, θῶμεν. 3. ἱστάναι, τιθέναι, στῆναι. 4. ἐτίθεντο, ἵσταντο, ἔθεντο. 5. θοῦ, θές, στῆθι. 6. ἐὰν πρίηται, ἐὰν ἐπι-θῆται, ἐὰν ἱστῆται.

420. 1. He puts, he sets, he set. 2. They are standing, they are putting, let them put. 3. To put, to be putting, to set. 4. Let us attack, let us buy, let us stand.

421. TRANSLATE: 1. ἐπεὶ δὲ οἱ ἄρχοντες ᾑρηντο,[1] ἔδοξεν αὐτοῖς προφύλακας κατα-στήσαντας συγ-καλεῖν τοὺς στρατιώτᾱς. 2. ἐπεὶ δὲ οἱ ἄλλοι στρατιῶται συν-ελέγησαν, ἀν-έστη ὁ Κλεάνωρ καὶ ἔλεξεν ὧδε. 3. Ἀριαῖος ὃν ἡμεῖς ἠθέλομεν βασιλέᾱ καθ-ιστάναι νῦν πρὸς τοὺς Κύρου ἐχθίστους ἀπο-στὰς ἡμᾶς κακῶς ποιεῖν πειρᾶται. 4. ἡμᾶς δεῖ ταῦτα ὁρῶντας, μαχομένους ὡς ἂν δυνώμεθα κράτιστα, τοῦτο ὅ τι ἂν δοκῇ

[1] αἱρέω.

Digitized by Google

τοῖς θεοῖς πάσχειν. 5. ἐκ τούτου Ξενοφῶν ἀν-ίσταται ἐσταλμένος ἐπὶ πόλεμον ὡς ἐδύνατο κάλλιστα· τοῦ δὲ λόγου ἤρχετο ὧδε. 6. Τὴν τῶν βαρβάρων ἐπιορκίᾱν λέγει μὲν Κλεάνωρ, ἐπίστασθε δὲ καὶ ὑμεῖς, οἶμαι. 7. εἰ δὴ δια-νοούμεθα σὺν τοῖς ὅπλοις ὧν[1] πεποιήκᾱσι δίκην ἐπι-θεῖναι αὐτοῖς, σὺν τοῖς θεοῖς πολλαὶ ἡμῖν καὶ καλαὶ ἐλπίδες εἰσὶ σωτηρίᾱς. 8. οἱ Ἕλληνες ταῦτα ἐπιστάμενοι συν-έθεντο προθύμως πορεύσεσθαί τε καὶ διώξειν ἰσχῡρῶς ὅταν οἱ πολέμιοι ἐπι-θῶνται.

422. 1. And the light armed troops advanced in front of him to stir up the wild beasts. 2. For they were not able to catch the animals unless some one understood how[2] to stir them up. 3. Accordingly those who were pursuing made an agreement and separated whenever they saw the animals near. 4. Grounding arms, the Greeks halted, wondering because Cyrus did not appear. 5. But if they had waited all that day, he would not have come.

423. VOCABULARY

ἀν-ίστημι, etc., *rouse up;* intrans. *stand up.*
δια-νοοῦμαι, -νοήσομαι, *purpose, plan.*
δι-ίστημι, *set apart;* intrans. *separate, stand apart.*
ἡ ἐπιορκίᾱ, *perjury.*
ἐπίσταμαι,[3] **ἐπιστήσομαι, ἠπιστήθην**, *understand, know how.*
καλῶς, adv. of **καλός**, *finely, nobly.*
ὁ προφύλαξ, ακος, *outpost, picket.*
στέλλω, στελῶ, ἔστειλα, ἔσταλκα, ἔσταλμαι, ἐστάλην, *arrange, equip, dress.*
συγ-καλέω, etc., *call together.*
συν-τίθημι, etc., *put together;* mid. *agree on, contract.*
ἡ σωτηρίᾱ, *safety.*

[1] With **δίκην**. Cf. 414, 8. [2] Omit.
[3] Like **δύναμαι**. Do not confuse this word with **ἵστημι**.

Digitized by Google

*424. READING EXERCISE

Introduction to a Speech of Lysias

For Vocabulary see page 235

Πολλήν μοι ἀπορίαν παρέχει ὁ ἀγὼν οὑτοσί,[1] ὦ ἄνδρες δικασταί, ὅταν ἐνθυμηθῶ[2] ὅτι, ἐὰν ἐγὼ μὲν μὴ νῦν εὖ εἴπω, οὐ μόνον ἐγὼ ἀλλὰ καὶ ὁ πατὴρ δόξει ἄδικος εἶναι, καὶ τῶν χρημάτων[3] ἁπάντων στερήσομαι. ἀνάγκη οὖν εἰ καὶ[4] μὴ δεινὸς πρὸς ταῦτα πέφυκα,[5] βοηθεῖν τῷ πατρὶ καὶ ἐμαυτῷ οὕτως ὅπως ἂν δύνωμαι.[2] τὴν μὲν οὖν παρασκευὴν καὶ προθυμίαν τῶν ἐχθρῶν ὁρᾶτε, καὶ οὐδὲν δεῖ περὶ τούτων λέγειν· τὴν δ' ἐμὴν ἀπειρίαν πάντες ἴσασιν,[6] ὅσοι ἐμὲ γιγνώσκουσιν. αἰτήσομαι οὖν ὑμᾶς δίκαια καὶ ῥᾴδια χαρίσασθαι ἄνευ ὀργῆς καὶ ἡμῶν[7] ἀκοῦσαι ὥσπερ τῶν κατηγόρων. ἀνάγκη γὰρ τὸν ἀπολογούμενον,[8] κἂν[9] ἐξ ἴσου ἀκροᾶσθε, ἔλαττον[10] ἔχειν. οἱ μὲν γὰρ ἐκ πολλοῦ χρόνου ἐπιβουλεύοντες, αὐτοὶ ἄνευ κινδύνων ὄντες, τὴν κατηγορίαν ἐποιήσαντο. ἡμεῖς δὲ ἀγωνιζόμεθα μετὰ δέους καὶ διαβολῆς καὶ κινδύνου μεγίστου. εἰκὸς οὖν ὑμᾶς εὔνοιαν πλείω ἔχειν τοῖς ἀπολογουμένοις.

---

[1] Cf. 384. [2] 411. [3] 141. [4] *even.*
[5] *have been born*, so *am by nature.* [6] *know.* [7] 187, b.
[8] What English derivative? [9] By crasis for **καὶ ἐάν.** [10] See 233, 221.

Digitized by Google

*LESSON XLIV

VERBAL ADJECTIVES — REVIEW OF PERSONAL PRONOUNS

425. Verbal adjectives in **τος** and **τεος** correspond generally to Latin participles in **tus** and **ndus**. Their stem is found by adding **το** or **τε** to the verb stem as found in the first aorist passive; as **λυτός** (**λυτο-**, aor. pass. **ἐλύθην**), **πεμπτέος** (**πεμπτε-**, aor. pass. **ἐπέμφθην**).

a. Verbals are declined like adjectives in **ος** (499).

426. MODEL SENTENCES

α. **ἐνταῦθα τάφρος ἦν ὀρυκτὴ βαθεῖα,** *in that place was a deep artificial (digged) ditch.*

β. **σὺν μὲν γὰρ σοὶ πᾶς ποταμὸς διαβατός,** *for with you every river is fordable.*

γ. **ποταμὸς δέ τις ἄλλος ἡμῖν διαβατέος,** *some other river must be crossed (is to-be-crossed) by us.*

δ. **τούτους δ' οὖν τοὺς ποταμοὺς ἡμῖν διαβατέον ἐστίν,** *but at any rate we must cross these rivers.*

a. Observe the two meanings of the verbal in **τος**, in **ὀρυκτή** that of a perfect passive participle, in **διαβατός** that of an adjective in **bilis**, denoting *capability*.

b. Observe the differences in construction and translation in *γ* and *δ*; and notice that **διαβατέος** agrees in case with the subject **ποταμός**, while **διαβατέον** is impersonal and, like its verb, **δια-βαίνω**, allows an object.

c. What case is used above to express *agent?* What case is used in Latin with the gerundive?

Digitized by Google

427. Rule of Syntax. — The verbal in **τέος** has both a personal and an impersonal construction; the agent is expressed by the dative.

428. Review the declensions of **ἐγώ, σύ, αὐτός** (510). Learn the reflexive and reciprocal pronouns.

429. TRANSLATE: 1. *ἡμῖν γε οἶμαι πάντα ποιητέα ὡς μήποτε ἐπὶ τοῖς βαρβάροις γενώμεθα, ἀλλὰ μᾶλλον, ἢν δυνώμεθα, ἐκεῖνοι ἐφ' ἡμῖν.* 2. *ἆρα ἀγωνιστέον ἡμῖν, ὦ Κῦρε, πρὸς τοὺς ἄνδρας; Ἀνάγκη γάρ, ἔφη.* 3. *σκοπεῖσθαι οὖν χρὴ ἡμᾶς εἴτε*[1] *ταῦτα πρᾱκτέον εἴτε μή.* 4. *ἐκ τούτου Ξενοφῶντι ἐδόκει διωκτέον εἶναι τοῖς ἑαυτοῦ.* 5. *ἀλλ' ὅπως μὴ ἐπὶ βασιλεῖ γενησόμεθα πάντα ποιητέον.* 6. *ὑμῖν γε οὐκ ἀθῡμητέον, καὶ*[2] *εἰ μηδεὶς φανεῖται ἡγεμών.* 7. *εἴπερ οὖν τῆς πατρίδος ἐπι-θῡμεῖς, ἀκτέον ἐπὶ τοὺς ἄνδρας.* 8. *ὠφελητέᾱ σοι ἡ πόλις ἐστίν, εἴπερ τῑμᾶσθαι βούλει.* 9. *ἐὰν τοῦτο, ὦ Γλαύκων, δια-πράξῃ, ὀνομαστὸς ἔσει πρῶτον μὲν ἐν τῇ πόλει, ἔπειτα δὲ ἐν τῇ Ἑλλάδι, ὅπου δ' ἂν ᾖς πανταχοῦ περί-βλεπτος ἔσει.*

430. 1. These things must be accomplished by you, if you desire to revolt from the king. 2. You must collect[3] the best and bravest men possible, to attack his troops. 3. You must bid your soldiers follow zealously whenever you lead them to battle. 4. If you wish to appear worthy of admiration,[4] you must compel men to obey you.

---

[1] Cf. 374.
[2] *even.*
[3] *must be collected by you.*
[4] Verbal of **θαυμάζω**.

Digitized by Google

431. VOCABULARY

ἀγωνίζομαι, ἀγωνιοῦμαι, ἠγώνισμαι, ἠγωνίσθην, *contend*. Cf. **ἀγών**.
ἀθῡμέω, ήσω, etc., *be despondent*. Cf. **ἄθῡμος**.
δια-πράττομαι, etc., *bring about, accomplish*.
εἴπερ, conj., *if indeed*.
ἔπειτα, adv., *thereupon, then, further*.
μήποτε, adv., *never*.
ὅθεν, adv., *from which place, whence*.
ὀνομάζω, ὀνομάσω, etc., *name, mention*. Cf. **ὄνομα**.
πανταχοῦ, adv., *everywhere*.
ἡ πατρίς, ίδος, *native land*.
περι-βλέπω, -βλέψομαι, -έβλεψα, *look around at, gaze on, admire*.
σκοπέομαι, *watch for, consider, ponder* (used only in the present and imperfect, see **σκέπτομαι**).
ὠφελέω, ήσω, etc., *aid, assist*.

LESSON XLV

MI VERBS: δίδωμι — CONSTRUCTIONS WITH ἕως

432. Learn the Principal Parts and the Present and Second Aorist systems Active and Middle of **δίδωμι** (525–6).

a. Notice that the stem vowel is **ο**, and that sometimes **ο** lengthens into **ου**. What did **ε** in **τίθημι** become in the corresponding places?

b. Write the principal parts of **ἀπο-δίδωμι**, *give back, return;* **παρα-δίδωμι**, *give over, give up;* **προ-δίδωμι**, *betray, desert*.

433. MODEL SENTENCES

a. **ταῦτα ἐποίουν ἕως σκότος ἐγένετο**, *this they did, until darkness came on*.

β. **ἕως ἂν ζῶσιν, εὐδαιμονέστερον δι-άγουσι**, *while they live, they live more happily*.

Digitized by Google

γ. **ἔδοξεν αὐτοῖς προ-ιέναι ἕως Κύρῳ συμ-μίξειαν,** *they decided to go on until they should meet Cyrus.*

a. Observe the different meanings of **ἕως** above, and the moods of the dependent verbs; notice that **ἐγένετο** states a definite past action. **ἕως συμμίξειαν** after a primary tense would be **ἕως ἂν συμ-μίξωσι.**

434. When **ἕως** (or **ἕστε, ἄχρι, μέχρι**), *until*, refers to a definite past action, it takes the indicative (usually the aorist). Otherwise it follows the construction of conditional relatives (411).

435. TRANSLATE: 1. δίδομεν, ἐδίδομεν, ἐδόμην. 2. διδόναι, δοῦναι, δίδοσθαι. 3. ἐδίδου, δίδωσι, διδόᾱσι. 4. δούς, διδούς, δῶμεν. 5. δίδου, δός, διδόντων. 6. ἵνα διδῷ, ἵνα δοίη, ἵνα δῶται.

436. 1. They give, they were giving, they gave. 2. Giving, having given, let us give. 3. You (sing.) are giving, give, you gave. 4. He is betrayed, he was betrayed, let him not be betrayed.

437. TRANSLATE: 1. Σὺ δέ, ἔφη, ὦ Ἀγησίλᾱε, ἕως ἂν πύθῃ τὰ παρὰ τῆς σεαυτοῦ[1] πόλεως, μετα-χώρησον εἰς τὴν Φαρναβάζου χώρᾱν. 2. Ἕως ἂν τοίνυν, ἔφη ὁ Ἀγησίλᾱος, ἐκεῖσε πορεύωμαι, δίδου δὴ τῇ στρατιᾷ τὰ ἐπιτήδεια. 3. ἐκείνῳ δὴ ὁ Τιθραύστης δίδωσι τριάκοντα τάλαντα. 4. Κλέαρχος τοὺς δᾱρεικοὺς λαβὼν οὓς Κῦρος ἔδωκεν αὐτῷ πολεμῶν δι-εγένετο μέχρι Κῦρος

[1] The reflexive pronoun has the attributive position, but the personal pronoun has the predicate position.

Digitized by Google

ἐδεήθη τοῦ στρατεύματος. 5. ἄν μοι δῷς τι, στρατεύσομαι ἥδιον ἢ οἴκοι μενῶ. 6. τὰ τῶν θεῶν ἀπο-δόντες τοῖς μάγοις καὶ ὅσα τῇ στρατιᾷ ἱκανὰ ἐξ-ελόντες, τἆλλα καλέσαντες τὸν Γωβρύαν δότε αὐτῷ. 7. ταῦτά ἐστιν ἔργα ἀνδρῶν ἐπισταμένων χάριτας ἀπο-διδόναι[1]; 8. ἔνθα δὴ ἀπ-εκρίνατο Κλεάνωρ ὅτι πρόσθεν ἂν ἀποθάνοιεν ἢ τὰ ὅπλα παρα-δοῖεν. 9. ἡδέως ἂν αὐτῷ ἔτι ὑπηρετοῦμεν ἕως χάριν ἀπ-έδομεν[2] ὧν εὖ ἐπάθομεν ὑπ' ἐκείνου.

438. 1. The Greeks trusted Ariaeus until he betrayed them. 2. After giving us pledges[3] and receiving (them) from us, do you now betray us, the friends of Cyrus? 3. If he considers that he has been helped by Cyrus, let him return the favor and aid us. 4. Let us not give up our arms, fellow soldiers,[4] so long as we have one hope of victory.

439. VOCABULARY

ἐκεῖσε, adv., *to that place, thither.* Cf. **ἐκεῖ.**

ἔνθα, adv., *where, there, thereupon.*

ἐξ-αιρέω, etc., *take out, pick out.*

τὸ ἔργον, *work, deed.*

ὁ μάγος, a *priest* who interpreted dreams, *a wise man.*

μετα-χωρέω, etc., *go to another place, withdraw.*

οἴκοι, adv., *at home.* Cf. **οἴκαδε.**

ὅσος, η, ον, adj., *as great as, as much as, as many as.*

πυνθάνομαι, πεύσομαι, ἐπυθόμην, πέπυσμαι, *inquire, learn by inquiry, find out.*

τὸ τάλαντον, *talent*, 60 **μναῖ**, $1080.

τοίνυν, adv., postpositive, *then, therefore.*

---

[1] *return a favor.*

[2] Like what form of condition?

[3] **τὰ πιστά.**

[4] **ὦ ἄνδρες στρατιῶται.**

Digitized by Google

LESSON XLVI

MI VERBS: δείκνῡμι AND ἔδῡν — CONSTRUCTIONS WITH ὥστε

440. Learn the Principal Parts and the Present system Active and Middle of **δείκνῡμι** (525–6), and the Second Aorist **ἔδῡν** (526).

a. Write the principal parts of **ἀπο-δείκνῡμι**, *point out, declare*, and **ἐπι-δείκνῡμι**, *display, show.*

441. MODEL SENTENCES

a. **κραυγὴν πολλὴν ἐποίουν, ὥστε τοὺς πολεμίους ἀκούειν,** *they kept making a great noise for* (lit. *so that*) *the enemy to hear;*

β. **ὥστε οἱ ἐγγύτατα τῶν πολεμίων ἔφυγον,** *so that those of the enemy who were nearest fled.*

a. Observe (1) the moods used above after **ὥστε**; (2) that while the infinitive in *a* shows the result which **ἐποίουν** *tends* to produce, **ἔφυγον** in *β* shows what actually *did* happen.

442. Rule of Syntax. — **ὥστε** is used with the *infinitive* (negative **μή**) to show the result which the action of the leading verb *tends* to produce; with the *indicative* (negative **οὐ**) to show the result which that action actually *does* produce.

443. TRANSLATE: 1. δεικνύᾱσι, δείκνῡσι, δεικνύναι. 2. δείκνυται, δείκνυσθαι, ἐδείκνυντο. 3. δείκνῡ, δείκνῡς, δεικνῦς. 4. δεικνύωμεν, διδῶμεν, τιθῶμεν. 5. ἵνα δεικνύοι, ἵνα ἱσταίη, ἵνα διδοίη. 6. δεικνύντων, δείκνυσαι, δείκνυσθαι.

Digitized by Google

444. 1. He shows, he showed, let him show. 2. Showing, being shown, to show. 3. Let us not show, to be shown, they are shown. 4. They show, they give, they put.

445. TRANSLATE: 1. *τοῖς δὲ παισὶν ἐδείκνυσαν ὅ τι δέοι ποιεῖν.* 2. *ὥστε ὥρᾱ ἐστὶν ἐπι-δεικνύναι ὅ τι τις γιγνώσκει ἄριστον εἶναι.* 3. *μετὰ τοῦτον ἄλλος ἀν-έστη ἐπι-δεικνὺς ὡς εἴηθες εἴη πλοῖα αἰτεῖν παρὰ Κύρου.* 4. *φοβοίμην γὰρ ἂν μὴ τὰ πλοῖα ἃ ἡμῖν δοίη ὁ Κῦρος κατα-δύῃ.*[1] 5. *ἀπο-τεμόντες τὰς κεφαλὰς τῶν νεκρῶν ἐπ-εδείκνυσαν τοῖς Ἕλλησι.* 6. *δίκαιον γὰρ ἀπ-όλλυσθαι τοὺς ἐπι-ορκοῦντας.* 7. *ὦ κάκιστε ἀνθρώπων, Ἀριαῖε, τοὺς ἄνδρας αὐτοὺς οἷς ὤμνῡς ἀπ-ολώλεκας.* 8. *πάντας ὅσοι ἀφ-ικνοῖντο παρὰ βασιλέως πρὸς αὐτὸν οὕτως δια-τιθεὶς ἀπ-επέμπετο ὥστε ἑαυτῷ μᾶλλον φίλους εἶναι ἢ βασιλεῖ.* 9. *καὶ γὰρ ἔργῳ ἐπ-εδείκνυτο καὶ ἔλεγεν ὁ Κῦρος ὅτι οὐκ ἄν ποτε προ-δοίη τοὺς φίλους, οὐδ' εἰ κακῶς πράξειαν.*[2] 10. *πάντες γνώμην ἀπ-εδείκνυντο ὅτι οὐδένα προ-δοίη*[3] *φίλον.* 11. *πλείων ἦν ὁ μισθὸς ὥστε τὸ στράτευμα προθῡμότερον εἶναι.*

446. 1. Make known your opinion now, Clearchus, what you hold to be just. 2. If the king should defeat us, said he, he would destroy as many of us as he could. 3. So that I think we ought to show our training,[4] and fight as bravely as possible. 4. Let us attack him[5] so violently as to destroy his first line. 5. Let every man who is willing to fight bravely take oath.

---

[1] Cf. 196, n.
[2] *fare ill.*
[3] Is this to be translated like the optative in 9?
[4] παιδεία.
[5] What case?

Digitized by Google

447. VOCABULARY

αἰτέω, ήσω, etc., *ask for, demand.*
ἀπ-όλλῡμι, -ολῶ, -ώλεσα, -ωλόμην, -ολώλεκα or **-όλωλα,** *destroy utterly, lose;* intrans. *perish.*
ἀπο-τέμνω, -τεμῶ, -έτεμον or **-έταμον, -τέτμηκα, -τέτμημαι, -ετμήθην,** *cut off.*
γιγνώσκω, γνώσομαι, ἔγνων, ἔγνωκα, ἔγνωσμαι, ἐγνώσθην, *know, think.*
ἡ γνώμη, *opinion.*
δια-τίθημι, etc., *dispose.*
ἐπι-ορκέω, ήσω, -ώρκησα, -ώρκηκα, *swear falsely, commit perjury.*
εὐήθης, ες, adj., *foolish.*
κατα-δύω, δύσω, κατ-έδῡν, *make sink;* intrans. *sink.*
ὁ νεκρός, *dead body, corpse.*
ὄμνῡμι or **ὀμνύω, ὀμοῦμαι, ὤμοσα, ὀμώμοκα, ὀμώμοσμαι, ὠμόσθην,** *swear, take an oath.*
οὐδέ, adv., *and not, nor yet, not even.*
φοβέομαι, ήσομαι, etc., *fear.*

*448. READING EXERCISE

A Persian Little Lord Fauntleroy, Part I. Cyrop. I. iii.

For Vocabulary see page 235

Καὶ ὁ Κῦρος ἐπεὶ ἑώρα πολλὰ τὰ κρέα, εἶπεν, Ἆρα καὶ δίδως, ὦ πάππε, πάντα ταῦτά μοι τὰ κρέα ὅ τι[1] βούλομαι αὐτοῖς χρῆσθαι; Νὴ Δία, ὦ παῖ, ἔγωγέ σοι. ἐνταῦθα ὁ Κῦρος λαβὼν τῶν κρεῶν[2] δια-δίδωσι τοῖς ἀμφὶ τὸν πάππον θεράπουσιν, ἐπι-λέγων ἑκάστῳ, Σοὶ μὲν τοῦτο ὅτι προθύμως με ἱππεύειν[3] διδάσκεις, σοὶ δὲ ὅτι μοι παλτὸν ἔδωκας· νῦν γὰρ τοῦτο ἔχω· σοὶ δὲ ὅτι τὸν πάππον καλῶς θεραπεύεις,[4] σοὶ δὲ ὅτι μου τὴν μητέρα τιμᾷς· ταῦτα ἐποίει ἕως[5] διεδίδου πάντα ἃ ἔλαβε κρέα.

Σάκᾳ δέ, ἔφη ὁ Ἀστυάγης, τῷ οἰνοχόῳ, ὃν ἐγὼ μάλιστα τιμῶ, οὐδὲν διδῷς; καὶ Κῦρος ἐπήρετο εὐθύς, Διὰ τί δή, ὦ πάππε, τοῦτον οὕτω τιμᾷς; καὶ ὁ Ἀστυάγης σκώψας εἶπεν, Οὐχ ὁρᾷς ὡς καλῶς οἰνοχοεῖ καὶ εὐσχημόνως; (οἱ δὲ τῶν βασιλέων τούτων οἰνοχόοι κομψῶς τε οἰνοχοοῦσι καὶ διδόασι[6]

---

[1] 102; *for whatever.*
[2] Part. gen.
[3] Cf. **ἱππεύς**; 399.
[4] Cf. **θεράπων.**
[5] *while,* not *until.*
[6] Supply **οἶνον.**

Digitized by Google

τοῖς τρισὶ δακτύλοις ὀχοῦντες τὴν φιάλην). Κέλευσον δή, ἔφη ὁ παῖς, ὦ πάππε, τὸν Σάκαν καὶ ἐμοὶ δοῦναι τὸ ἔκπωμα, ἵνα καλῶς οἰνοχοήσας χαρίζωμαί σοι ἐὰν δύνωμαι.

ὁ δὲ ἐκέλευσε δοῦναι. λαβὼν δὴ ὁ Κῦρος οὕτως ἐποίησεν ὥσπερ Σάκαν ἑώρα, οὕτως ἐνδοὺς τὴν φιάλην τῷ πάππῳ ὥστε[1] τῇ μητρὶ καὶ τῷ Ἀστυάγει πολὺν γέλωτα παρασχεῖν.[1]

LESSON XLVII

SECOND AORISTS OF THE MI FORM IN Ω VERBS — CONSTRUCTIONS WITH πρίν

449. Review the inflection of **ἔστην** (526). Learn the Second Aorist of **γιγνώσκω** (527).

450. A few verbs in **ω** have second aorists inflected like verbs in **μι**. The most common second aorists of this form are **ἔβην** (**βαίνω**, *go*), **ἔφθην** (**φθάνω**, *anticipate*), inflected like **ἔστην**; **ἔδρᾱν** (**διδρᾰ́σκω**, usually **ἀπο-διδρᾰ́σκω**, *run away*), like **ἔστην**, but substituting **ᾱ** (after **ρ**) for **η**; **ἔγνων** (**γιγνώσκω**, *know*), and **ἥλων** or **ἐᾰ́λων** (**ἁλίσκομαι**, *be taken*), inflected like **ἔγνων**.

a. In **ἔφθην**, **ἔδρᾱν**, and **ἐᾰ́λων** the imperative is lacking.

451. MODEL SENTENCES

α. **δι-έβησαν πρὶν τοὺς ἄλλους ἀπο-κρίνασθαι**, *they crossed before the others replied.*

β. **μὴ πολέμου κατα-λύσῃς πρὶν ἂν ἐμοὶ συμ-βουλεύῃ**, *do not make peace until you advise with me.*

γ. **οὔτε ἰέναι ἤθελε πρὶν ἡ γυνὴ αὐτὸν ἔπεισεν**, *he refused to go, until his wife persuaded him.*

[1] 442.

Digitized by Google

a. Observe the mood following **πρίν** when it means *before*, the moods in *β* and *γ* when it means *until;* observe that *β* and *γ* are negative.

452. Rule of Syntax. — (1) **Πρίν** takes the infinitive, chiefly when it means *before* and when the leading verb is affirmative.

(2) It has the finite moods when it means *until* and chiefly when the leading verb is negative or implies a negative. This construction is the same as that of **ἕως**.

453. TRANSLATE: 1. ὑμᾶς χρὴ δια-βῆναι τὸν Εὐ-φράτην ποταμὸν πρὶν δῆλον εἶναι ὅ τι οἱ ἄλλοι Ἕλληνες ἀπο-κρινοῦνται Κύρῳ. 2. φθῶμεν δια-βάντες[1] τὸν ποταμὸν τοὺς ἄλλους στρατιώτας. 3. ἡδέως ἂν γνοίη τις εἰ οἱ ἀμφὶ Κλέαρχον μέλλουσι δια-βαίνειν. 4. οὐ πρότερον[2] πρὸς ἡμᾶς πόλεμον ἐξ-έφηναν πρὶν ἐνόμισαν καλῶς τὰ ἑαυτῶν παρ-εσκευάσθαι. 5. ἐκ δὲ τούτου ὁ κωμάρχης τῆς νυκτὸς ἀπο-δρᾶς ᾤχετο κατα-λιπὼν τὸν υἱόν. 6. ἐὰν ὁ πατὴρ ἁλῷ, δίκην δώσει. 7. ὡς δὲ γνόντες οἱ πολέμιοι τὸ ὂν[3] ἐτράποντο εἰς φυγήν, ἐνταῦθα ὁ Κῦρος διώκειν ἐκέλευσε τοὺς πρὸς τοῦτο τεταγμένους. 8. ἐνταῦθα δὴ ἅρματα ἑάλω, ἐκ-πῑπτόντων τῶν ἡνιόχων. 9. τῶν μέντοι πεζῶν Ἀσσυρίων οἳ ἔτυχον τὸ χωρίον πολιορκοῦντες[1] οἱ μὲν εἰς τὸ τεῖχος κατ-έφυγον, οἱ δὲ ἔφθησαν εἰς πόλιν τινὰ μεγάλην ἀφ-ικόμενοι.

---

[1] Three verbs, **λανθάνω**, *escape notice*, **τυγχάνω**, *happen*, and **φθάνω**, *anticipate*, are used with a participle, where the main idea is expressed by the participle, as: **ἔλαθον ἀπ-ελθόντες**, *they got off unseen.*

[2] **πρότερον** is followed by **πρίν**, *previously . . . before*, where we translate the **πρίν** only; cf. Lat. *prius . . . quam.* [3] *the state of things.*

Digitized by Google

454. 1. If the boats of the enemy should be captured, the Greeks would get across the river first.[1] 2. Let them cross the river at once; let them not fight, however, until they know what the country is. 3. There happened to be a village near, where[2] they found provisions. 4. The inhabitants, before they knew whether the Greeks were friendly or hostile, escaping by stealth, fled to the mountains. 5. The Greeks did not fight until their pack animals were captured.

455. VOCABULARY

ἁλίσκομαι, ἁλώσομαι, ἑάλων or **ἥλων, ἑάλωκα** or **ἥλωκα**, *be taken, caught;* used as passive to **αἱρέω.**

ἀπο-διδράσκω, -δράσομαι, -έδρᾱν, -δέδρᾱκα, *run away, escape by stealth.*

τὸ ἅρμα, ατος, *chariot.*

ἐκ-πίπτω, -πεσοῦμαι, ἐξ-έπεσον, ἐκ-πέπτωκα, *fall out.*

ἐκ-φαίνω, etc., *bring to light, open, begin.*

ὁ ἡνίοχος, *driver* (one who holds the reins).

κατα-φεύγω, etc., *take refuge.*

μέλλω, μελλήσω, ἐμέλλησα, *be about to, be likely to.*

ὁ πεζός, *foot soldier.*

τρέπω, τρέψω, ἔτρεψα and **ἔτραπον, τέτροφα** and **τέτραφα, τέτραμμαι, ἐτρέφθην** and **ἐτράπην**, *turn, rout;* intrans. *flee.*

τυγχάνω, τεύξομαι, ἔτυχον, τετύχηκα, *hit, attain; happen.*

ὁ υἱός, *son.*

φθάνω, φθήσομαι, ἔφθην and **ἔφθασα**, *get the start of, anticipate.*

***456.** READING EXERCISE

A Persian Little Lord Fauntleroy, Part II

For Vocabulary see page 236

Καὶ αὐτὸς δὲ ὁ Κῦρος ἐκγελάσας ἀνεπήδησε πρὸς τὸν πάππον καὶ φιλῶν[3] ἅμα εἶπεν, Ὦ Σάκα, ἐκβαλῶ σε ἐκ τῆς τιμῆς· τά τε γὰρ ἄλλα[4] σοῦ κάλλιον οἰνοχοήσω καὶ οὐκ ἐκ-

[1] Cf. 453, 2. [2] *in which.* [3] *embracing.* [4] 102.

Digitized by Google

πίομαι αὐτὸς τὸν οἶνον (οὕτω δὴ γὰρ ποιοῦσιν οἱ τῶν βασιλέων οἰνοχόοι, ἐπειδὰν διδῶσι τὴν φιάλην).

ἐκ τούτου δὴ ὁ Ἀστυάγης σκώπτων, Καὶ τί δή, ἔφη, ὦ Κῦρε, τἄλλα[1] μιμούμενος τὸν Σάκαν, οὐκ ἔπιες τοῦ οἴνου; Ὅτι, ἔφη, νὴ Δία, ἐδεδοίκη μὴ ἐν τῷ κρητῆρι φάρμακα μεμιγμένα εἴη. καὶ γὰρ ὅτε εἰστιάσας σὺ τοὺς φίλους ἐν τοῖς γενεθλίοις, σαφῶς κατέμαθον φάρμακα ἐν τῷ οἴνῳ ὄντα.[2] Καὶ πῶς δὴ σὺ τοῦτο, ἔφη, ὦ παῖ, ἔγνως; Ὅτι νὴ Δί' ὑμᾶς ἑώρων καὶ ταῖς γνώμαις καὶ τοῖς σώμασι σφαλλομένους. πρῶτον μὲν γὰρ ἃ οὐκ ἐᾶτε ἡμᾶς τοὺς παῖδας ποιεῖν, ταῦτα αὐτοὶ ἐποιεῖτε. πάντες μὲν γὰρ ἅμα ἐβοᾶτε· ᾖδετε δὲ καὶ μάλα γελοίως, οὐκ ἀκροώμενοι[3] δὲ τοῦ ᾄδοντος ὠμνύετε ἄριστα ᾄδειν. ὀρχησόμενοι[4]· δ' ἀνέστατε, ἀλλ' οὐδ' ὀρθοῦσθαι ἐδύνασθε. ἐπελέλησθε[5] δὲ παντάπασι σύ τε ὅτι βασιλεὺς ἦσθα, οἵ τε ἄλλοι ὅτι σὺ ἄρχων. τότε γὰρ δὴ ἔγωγε καὶ πρῶτον κατέμαθον ὅτι τοὔτ' ἄρ' ἦν ἡ ἰσηγορία ἣ ὑμεῖς τότε ἐποιεῖτε· οὐδέποτε γοῦν ἐσιωπᾶτε.

καὶ ὁ Ἀστυάγης λέγει, Ὁ δὲ σὸς πατήρ, ὦ παῖ, πίνων οὐ μεθύσκεται; Οὐ μὰ Δί', ἔφη. Ἀλλὰ πῶς ποιεῖ; Διψῶν παύεται, ἄλλο δὲ κακὸν οὐδὲν πάσχει· οὐ γὰρ οἶμαι, ὦ πάππε, Σάκας αὐτῷ οἰνοχοεῖ.

---

[1] By crasis, for τὰ ἄλλα. [2] Partic. instead of infin. in indir. disc.
[3] See 187, b. [4] Expresses purpose. [5] From ἐπι-λανθάνω

Digitized by Google

LESSON XLVIII

IRREGULAR MI VERBS — εἶμι — REVIEW OF εἰμί AND φημί — ACCUSATIVE ABSOLUTE

457. Learn the inflection of **εἶμι** (529). Review **εἰμί** and **φημί**, learning in addition the Subjunctive, Optative, Imperative, etc., of the latter.

a. Write a synopsis in the 3d sing. of **ἄπ-ειμι**, *go off, go back*, and **σύν-ειμι**, *be with.*

458. MODEL SENTENCES

α. **ἀλλὰ τί δεῖ μένειν, ἐπεὶ ἔξ-εστιν ἀπ-ιέναι,**
β. **ἀλλὰ τί, ἐξὸν ἀπ-ιέναι, δεῖ μένειν,** } *but why, when it is possible to go back, must we remain?*

a. Observe that the clause **ἐπεὶ ἔξ-εστιν** may be expressed by a participle, not in the genitive, as in 272, but in the accusative. This is called the *accusative absolute.*

459. Rule of Syntax. — The participles of impersonal verbs and of other verbs when used impersonally may stand in the *accusative absolute* in the neuter singular, when others would be in the genitive absolute.

460. TRANSLATE: 1. εἶμι, εἰμί, ἦν, ᾖα. 2. φησί, φᾱσί, φάναι, φῆσαι. 3. ἦμεν, ᾖμεν, εἶσιν, εἰσίν. 4. ἴσθι, ἴθι, ἰών, ὤν. 5. ἴᾱσι, ἦσαν, ἴωμεν, φῶμεν. 6. ἔφησαν, ἔφασαν, ἔσται, ἦσαν.

461. 1. They are, he is going, they say, they said. 2. He is, I am going, I am, I was. 3. To go, to be, to say, let him go. 4. He went, he was, being, going.

Digitized by Google

462. TRANSLATE: 1. ὁ δὲ Κυαξάρης πέμπων πρὸς τὸν Κῦρον ἔλεγεν ὅτι ἤδη καιρὸς εἴη ἄγειν ἐπὶ τοὺς πολεμίους. 2. Εἰ γὰρ νῦν, ἔφη, ἔτι ὀλίγοι εἰσίν, ἐν ᾧ[1] ἂν προσ-ίωμεν, πολλοὶ ἔσονται. 3. μὴ οὖν μείνωμεν ἕως ἂν πλείους ἡμῶν γένωνται· ἀλλ' ἴωμεν ἕως ἔτι οἰόμεθα εὐπετῶς ἂν αὐτῶν[2] κρατῆσαι. 4. ἐν τούτῳ δὲ ἦκε Χρῡσάντᾱς καὶ ἔλεγεν ὅτι οἱ πολέμιοι ἐξ-ίοιέν τε ἤδη σὺν τοῖς ὅπλοις καὶ παρα-τάττοι αὐτοὺς αὐτὸς ὁ βασιλεύς. 5. ὡς ἤρξατο ἄγειν ὁ Κῦρος, οἱ στρατιῶται εἵποντο ἡδέως· ἠπίσταντο γὰρ ἀσφαλέστατον εἶναι καὶ ῥᾷστον τὸ ὁμόσε ἰέναι τοῖς πολεμίοις ἐξ ἀρχῆς.[3] 6. δόξαν τοίνυν σοι καλῶς ἔχειν, πρόσ-ιθι πρὸς αὐτόν. 7. καὶ πρῶτον μὲν οὕτω ποίει ὅπως ἂν αὐτοὶ λάθρᾳ συν-ῆτε. 8. ἔπειτα δέ, ἐξ-όν σοι, τοῦτο μηχανῶ ὅπως λάθῃ φίλος ὢν ἡμῖν. 9. ἀπ-ιέναι δοκοῦν σκεπτέον ἐστὶν ὅπως ἀσφαλέστατα ἄπ-ιμεν[4] καὶ ὅπως τὰ ἐπιτήδεια ἕξομεν.

463. 1. But now when it is possible for you to go home, you are not going? 2. Why do you say it is possible for us to return home? 3. We are not so base as to desert Cyrus in the present difficulties.[5] 4. Although it did not seem best to us to proceed against the king, we said we should not go back. 5. Cyrus gave us more pay that we might be more zealous.

---

[1] sc. **χρόνῳ**, *while*.
[2] Why genitive?
[3] *at once, at the beginning.*
[4] Notice that the present tense is future in meaning; see the next verb.
[5] **πρᾶγματα**.

Digitized by Google

464. VOCABULARY

ἔξ-ειμι, *go out* (**εἶμι**).
εὐπετῶς, adv., *easily*.
ἤδη, adv., *already, now, at once*. Lat. iam.
ὁ καιρός, *the fitting time, opportunity*.
κρατέω, ήσω, etc., *be strong, rule, conquer*.
λάθρᾳ, adv., *stealthily, secretly*. Cf. **λανθάνω**.
λανθάνω,[1] **λήσω, ἔλαθον, λέληθα, λέλησμαι**, *be unseen, escape notice of*.
μηχανάομαι, ήσομαι, etc., *contrive, devise*. Lat. māchinor.
ὁμόσε, adv., *to the same place, to close quarters, hand to hand*.
παρα-τάττω, *draw up side by side, marshal*.
πρόσ-ειμι, *go to, approach* (**εἶμι**).
σκεπτέος, verbal of **σκέπτομαι**, *consider*.

***465.** READING EXERCISE

For Vocabulary see page 236

THE SONG OF THE SWALLOW

[A Rhodian mendicant song sung on the arrival of spring. A similar lay of the swallow is still sung by the modern Greeks at the same season. Some of the forms are in the Doric dialect.]

Ἦλθ', ἦλθε χελιδών,
καλὰς ὥρας ἄγουσα,
καλοὺς ἐνιαυτούς,
ἐπὶ γαστέρα λευκά[2]
ἐπὶ νῶτα μέλαινα.—
παλάθαν[2] σὺ προκύκλει
ἐκ πίονος οἴκου,
οἴνου τε δέπαστρον,
τυρῶν τε κάνυστρον·
καὶ πύρνα χελιδών
καὶ λεκιθίταν[2]

[1] See page 152, note 1. (Cf. **λαμβάνω, λανθάνω, μανθάνω, τυγχάνω, αἰσθάνομαι**, and see that they all add **αν** to the simple stem to form the present.)

[2] These forms in Attic Greek would end in **-η, -ην**.

Digitized by Google

οὐκ ἀπωθεῖται. πότερ' ἀπίωμες,[1] ἢ λαβώμεθα;
εἰ μέν τι δώσεις· εἰ δὲ μή, οὐκ ἐάσομεν,
ἢ τὰν[2] θύραν φέρωμες[3] ἢ τοὐπέρθυρον,
ἢ τὰν[2] γυναῖκα τὰν[2] ἔσω καθημέναν·[2]
μικρὰ μέν ἐστι, ῥᾳδίως μιν[4] οἴσομεν·[5]
ἂν δὲ φέρῃς τι,
μέγα δή τι φέροιο·[6]
ἄνοιγ', ἄνοιγε τὰν[2] θύραν χελιδόνι·
οὐ γὰρ γέροντές ἐσμεν, ἀλλὰ παιδία.

LESSON XLIX

IRREGULAR MI VERBS: οἶδα — PARTICIPIAL INDIRECT DISCOURSE

466. Learn the inflection of **οἶδα** (532).

467. MODEL SENTENCES

α. **σὲ δὲ οἶδεν οὕτως ἐξ-απατήσαντα αὐτόν,** *but he knows that you thus deceived (you having deceived) him.*

β. **κατ-ενόησε δὲ τὴν ἀγυιὰν στενωτέρᾱν οὖσαν,** *but he perceived that the road was (the road being) too narrow.*

γ. **Μένων δῆλος ἦν ἐπι-θῡμῶν πλουτεῖν,** *it was clear that Menon wanted (Menon was evident wanting) to be rich.*

a. Observe that the verbs of *α* and *β* are followed by the participle of indirect discourse instead of the constructions of Lesson XXIX. Notice the case of the participle and its modifiers.

b. Notice the agreement of **δῆλος** in *γ*, and the English equivalent.

---

[1] For **ἀπ-ίωμεν.** [2] These forms in Attic Greek would end in **-ην.**
[3] For **φέρωμεν.** [4] **μιν** = **αὐτήν.** [5] From **φέρω.** [6] 355, a.

Digitized by Google

***468. Rule of Syntax.** — The participle is often used in indirect discourse, with verbs signifying to *see*, *hear* or *learn*, *perceive*, *know*, *be ignorant of*, *remember* or *forget*, *show*, *appear*, *prove*, *acknowledge*, and **ἀγγέλλω**, *announce*.

a. Most of these verbs may also take **ὅτι** with a finite verb as in Lesson XXIX, and some the infinitive of indirect discourse.

469. Rule of Syntax. — **δῆλός εἰμι** and **φανερός εἰμι** take the participle in indirect discourse, where we use an impersonal construction.

470. TRANSLATE: 1. οἶδε, ἴσᾱσι, ᾔδεσαν. 2. ἴσθι, εἰδώς, εἰδέναι. 3. ἴστω, ἔστω, οἶδα. 4. ᾔδει, ᾖει, εἰδότες. 5. ἵνα εἰδῇ, ἵνα ἴδῃ, ἵνα εἰδείη. 6. ἴστε, ἴτε, ἔστε.

471. 1. I know, I knew, he knew. 2. To know, to go, let them know. 3. They know, let us know, let us see. 4. They knew, they went, they were.

472. TRANSLATE: 1. Εὖ ἴσθι, ὦ Ξενοφῶν, ὅτι ἡ ὁδὸς ἦν[1] πορευσόμεθα ἐπὶ τὰ ὄρη ὀρθίᾱ ἐστίν, ἔφη Χειρίσοφος· Καὶ ταῦτα ἔσπευδον εἰ δυναίμην φθάσαι πρὶν κατ-ειλῆφθαι τὴν ὑπερβολήν. 2. ὁ δὲ Ξενοφῶν λέγει· Ἀλλ' ἐγὼ ἔχω δύο ἄνδρας. ἀπ-εκτείναμεν γάρ τινας, καὶ ζῶντας ἐλάβομέν τινας αὐτοῦ τούτου ἕνεκα, ὅπως ἡγε-

[1] Accusative to denote the ground over which one passes. This is connected with the cognate accusative, **ἀρχὴν ἄρχειν**, *to hold an office*, where the accusative repeats the idea already contained in the verb. Here also belongs the accusative **ταῦτα** with **ἔσπευδον**, in the same sentence.

Digitized by Google

μόσιν εἰδόσι τὴν χώρᾱν χρησαίμεθα. 3. καὶ εὐθὺς ἀγαγόντες τοὺς ἀνθρώπους ἤλεγχον εἴ τινα εἰδεῖεν ἄλλην ὁδὸν ἢ τὴν φανερᾱ́ν. 4. ὁ μὲν οὖν ἕτερος οὐκ ἔφη,[1] ὁ δὲ ἕτερος ἔλεξεν ὅτι οὗτος οὐ φαίη διὰ ταῦτα εἰδέναι, ὅτι αὐτῷ ἐτύγχανε θυγάτηρ[2] ἐκεῖ οὖσα.[3] 5. τοῦτον τὸν ἡγεμόνα δήσαντες δῆλοι ἦσαν ἄνω πορευόμενοι σῑγῇ. 6. φανεροί εἰσιν οἱ βάρβαροι πολλὰ πρᾱ́γματα[4] παρ-έχοντες τοῖς ἀνα-βαίνουσιν. 7. ὡς δὲ ᾔσθετο Ἐπαμεινώνδᾱς ὡρμημένον τὸν Ἀγησίλᾱον καὶ ὄντα ἤδη ἐν τῇ Πελλήνῃ, ἡγεῖτο τῷ στρατεύματι εὐθὺς ἐπὶ Σπάρτην. 8. καὶ εἰ μὴ Κρὴς ἐλθὼν ἐξ-ήγγειλε τῷ Ἀγησιλᾱ́ῳ προσ-ιὸν τὸ στράτευμα, ἔλαβεν ἂν[5] τὴν πόλιν ἔρημον τῶν ἀμυνουμένων. 9. οὐ χρὴ ἡμᾶς φανεροὺς εἶναι οἴκαδε ὡρμημένους· δέδοικα γὰρ μὴ οἱ πολέμιοι ἡμῖν λάθρᾳ ἐπι-θῶνται τῆς νυκτός.

473. 1. Be assured, my friends, that if we are manifestly discouraged, it is for this reason, because we can no longer defend ourselves. 2. A messenger has come reporting that our allies have set out for home. 3. It is evident that the enemy are near, and they will attack us at once, knowing that we are bereft of allies. 4. We know that all these things that you say are true. 5. But let us go on bravely, that our foes may not know that we are discouraged.

---

[1] *said "no,"* not *"did not say."*

[2] Cf. 180, a.

[3] Cf. p. 152, n. 1.

[4] *trouble.*

[5] What kind of a condition? Turn this sentence into indirect discourse (1) after **ἔλεξε**, (2) after **ἔφη**, (3) after **οἶδα**.

Digitized by Google

474. VOCABULARY

αἰσθάνομαι, αἰσθήσομαι, ᾐσθόμην, ᾔσθημαι, *perceive, learn.*

ἀμύνω, ἀμυνῶ, ἤμῡνα, *ward off;* mid. *defend oneself.*

ἀνα-βαίνω, *go up, march inland.*

ἀπο-κτείνω, -κτενῶ, -έκτεινα and **-έκτανον, -έκτονα,** *kill, put to death.*

ἐλέγχω, ἐλέγξω, ἤλεγξα, ἐλήλεγμαι, ἠλέγχθην, *examine, cross-question.*

ἐξ-αγγέλλω, etc., *report, make known.*

ὄρθιος, ίᾱ, ιον, adj., *straight up, steep.*

ὁρμάω, ήσω, etc., *start;* mid. *set out, start.*

ἡ σῑγή, *silence.*

σπεύδω, σπεύσω, ἔσπευσα, *urge, hurry.*

ἡ ὑπερβολή, *pass.*

φανερός, ά, όν, adj., *visible, in plain sight, evident.* Cf. **φαίνω.**

NOTE. — Compare **ἀμύνω, κρίνω, κτείνω, φαίνω,** and see that **ι** is added to the verb stem to form the stem of the present. So also **ἀγγέλλω** and **στέλλω** for **ἀγγελιω** and **στελιω.**

LESSON L

IRREGULAR MI VERBS: ἵημι — DOUBLE NEGATIVES

475. Learn the Principal Parts and the Present and Second Aorist systems Active and Middle of **ἵημι** (530). So also **ἀφ-ίημι,** *let go,* **προσ-ίημι,** *let come to.*

476. MODEL SENTENCES

α. **οὐδεὶς οὐκ ἔπασχέ τι,** *no one was unaffected, there was no one who was not affected;* i.e. *every one was,* etc.

β. **οὐδ' ἄλλος δὲ τῶν Ἑλλήνων ἔπαθεν οὐδεὶς οὐδέν,** *nor did anybody else of the Greeks receive any injury at all.*

γ.* **οὐ μὴ γένηται, *it will not happen.*

α. Observe that the simple negative **οὐ** in *α* contradicts the statement **οὐδεὶς ἔπασχε,** making an affirmative as in

Digitized by Google

English, while **οὐδ'** (**οὐδέ**) in *β* only strengthens the negation in **οὐδείς**, and **οὐδέν** makes it still more negative. How do **οὐ** and **οὐδέ** or **οὐδέν** differ?

b*. Notice in *γ* a new way of making a strong negative statement. The usual phrase would be **οὐ γενήσεται.

477. Rule of Syntax. — When a negative is followed by a *simple* negative (**οὐ** or **μή**) in the same clause, each retains its own force; when followed by one or more *compound* negatives, the negative is strengthened.

But **οὐ μή** with the subjunctive (and occasionally the future indicative) are used in the sense of an emphatic future indicative with **οὐ.**

478. TRANSLATE: 1. ἵησι, ἱᾶσι, ἵεσαν. 2. ἰέναι, εἶναι, ἔσθαι. 3. ἵεται, ἵετο, εἶτο. 4. ἔσθω, ἔτω, ἰέσθω. 5. ἵνα ᾖ, ἵνα ᾖ, ἵνα ἰᾖ. 6. ἶει, ἕς, θές.

479. 1. I send, I rush, I sent. 2. He was sending, he was rushing, he rushed. 3. Let us rush, let us send, sending. 4. Rush, send, let him rush.

480. TRANSLATE: 1. ἦν δύο ἢ τριῶν ἡμερῶν ὁδὸν ἀπό-σχωμεν,[1] οὐκέτι μὴ δύνηται βασιλεὺς ἡμᾶς καταλαβεῖν. 2. ἅμα δὲ τῇ ἡμέρᾳ τοῖς στρατηγοῖς καὶ λοχαγοῖς τῶν Ἑλλήνων ἔδοξεν ὅσα ἦν αἰχμάλωτα ἀνδράποδα ἐν τῇ στρατιᾷ πάντα ἀφ-εῖναι· σχολαίᾱν γὰρ ἐποίουν τὴν πορείᾱν, πολλὰ ὄντα. 3. ἐπεὶ δὲ ἀριστήσαντες ἐπορεύοντο, στάντες ἐν στενῷ οἱ στρατηγοί, εἴ τι εὑρίσκοιεν μὴ ἀφ-ειμένον, ἀφ-ηροῦντο. 4. ἄνδρες πολῖται, οἱ θεοὶ νῦν κεκομίκᾱσιν ἡμᾶς εἰς χωρίον ἐν ᾧ

[1] ἔσχον, σχῶ, σχοίην, σχές, σχεῖν, σχών.

Digitized by Google

οἱ μὲν ἐναντίοι πρὸς ὄρθιον ἴασιν, ἔνθα οὐ δύναιντο ἂν οὔτε βάλλειν οὔτε ἀκοντίζειν ὑπὲρ τῶν προ-τεταγμένων. 5. ἡμεῖς δὲ ἄνωθεν καὶ δόρατα ἀφ-ιέντες καὶ λίθους βάλλοντες τευξόμεθά τε αὐτῶν καὶ πολλοὺς τρώσομεν. 6. ἐὰν γὰρ ὑμεῖς, ὥσπερ προσ-ήκει, προθύμως ἀφ-ἶῆτε τὰ δόρατα, οὐδεὶς τῶν πολεμίων οὐ τεύξεται. 7. Ξενοφῶντα δὲ οὐκ ἐκάλει, οὐδὲ τῶν ἄλλων στρατηγῶν οὐδένα. 8. ἄνευ ἀρχόντων οὐδὲν ἂν οὔτε καλὸν οὔτε ἀγαθὸν γένοιτο οὐδαμοῦ.

481. 1. Some of Menon's soldiers, when they saw Clearchus advancing through their midst, began to throw stones[1] (at him). 2. They would not have thrown stones if he had not struck one of them. 3. The army will not be[2] victorious if they let Clearchus go. 4. Without him they would not be able to accomplish anything. 5. But Clearchus collecting his troops rushed against Menon's men so that they were frightened out of their wits.

482. VOCABULARY

αἰχμάλωτος, ον, adj., *captured, taken in war.*
ἀκοντίζω, ἀκοντιῶ, ηκόντισα, etc., *hurl a javelin, hit.*
ἄνευ, prep. w. gen., *without.*
ἄνωθεν, adv., *from above.*
ἀπ-έχω, etc., *be distant.*
ἀρισταίω, ήσω, etc., *breakfast.*
βάλλω, βαλῶ, ἔβαλον, βέβληκα, βέβλημαι, ἐβλήθην, *throw.*
κομίζω, κομιῶ, ἐκόμισα, etc., *take charge of, bring, conduct.*
οὐδαμοῦ, adv., *nowhere.*
οὔτε, conj., *nor;* **οὔτε . . . οὔτε . . . ,** *neither . . . nor.*
προ-τάττω, etc., *draw up in front.*
στενός, ή, όν, adj., *narrow.*
σχολαῖος, α, ον, adj., *slow.*
τιτρώσκω, τρώσω, ἔτρωσα, τέτρωμαι, ἐτρώθην, *wound.*

NOTE. — Cf. **τιτρώσκω, γιγνώσκω, θνήσκω, διδράσκω, εὑρίσκω,** etc.

[1] Use **ἵημι** w. dat. of instrument.

[2] Cf. 480, 1.

Digitized by Google

*483. READING EXERCISE: AN EPIGRAM OF LUCILLIUS

For Vocabulary see page 237

Ἰητήρ τις ἐμοὶ τὸν ἑὸν[1] φίλον υἱὸν ἔπεμψεν,
ὥστε μαθεῖν[2] παρ' ἐμοὶ ταῦτα τὰ γραμματικά.
ὡς δὲ τὸ "μῆνιν ἄειδε[3]" καὶ "ἄλγεα μυρί' ἔθηκεν"[3]
ἔγνω, καὶ τὸ τρίτον τοῖσδ'[4] ἀκόλουθον ἔπος,
"πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν,"
οὐκέτι μιν[5] πέμπει πρός με μαθησόμενον.[6]
ἀλλά μ' ἰδὼν ὁ πατήρ, Σοὶ μὲν χάρις, εἶπεν, ἑταῖρε·
αὐτὰρ[7] ὁ παῖς παρ' ἐμοὶ ταῦτα μαθεῖν δύναται.
καὶ γὰρ ἐγὼ πολλὰς ψυχὰς Ἄϊδι προϊάπτω,
καὶ πρὸς[8] τοῦτ' οὐδὲν γραμματικοῦ δέομαι.

---

[1] Poss. pron. from **οὗ**, corresponding to Lat. *suus*.
[2] 442.
[3] From the opening lines of the Iliad.
[4] 236.
[5] **μιν** = **αὐτόν**.
[6] What does the tense denote?
[7] **αὐτάρ** = **ἀλλά**.
[8] *for*.



Digitized by Google

SELECTIONS FOR READING

484. THE BATTLE OF CUNAXA

[Simplified from Anabasis I. viii. 8–29]

1. Ἡνίκα δὲ δείλη ἐγίγνετο ἐφάνη κονιορτὸς ὥσπερ νεφέλη λευκὴ ἐν τῷ πεδίῳ. ὅτε δὲ ἐγγύτερον ἐγίγνοντο, τάχα δὴ αἱ λόγχαι καὶ αἱ τάξεις καταφανεῖς ἐγίγνοντο. καὶ ἦσαν ἱππεῖς μὲν λευκοθώρακες ἐπὶ τοῦ εὐωνύμου τῶν πολεμίων· Τισσαφέρνης ἐλέγετο τούτων[1] ἄρχειν· ἦσαν δὲ καὶ γερροφόροι καὶ ὁπλῖται σὺν ποδήρεσι ξυλίναις ἀσπίσιν. Αἰγύπτιοι δ' οὗτοι ἐλέγοντο εἶναι· ἄλλοι[2] δ' ἱππεῖς, τοξόται ἄλλοι. πρὸ δὲ αὐτῶν ἦν ἅρματα τὰ δὴ δρεπανηφόρα καλούμενα[3]· εἶχον δὲ τὰ δρέπανα ἐκ τῶν ἀξόνων



1. Cavalry. 2. Peltasts. 3. Hoplites. 4. Cyrus and the six hundred. 5. Barbarians. *a*. Artaxerxes and the six thousand.



[1] 187, c. [2] *more.* [3] καλούμενα, *so-called.*

Digitized by Google

εἰς πλάγιον ἀποτεταμένα,[1] καὶ ὑπὸ τοῖς δίφροις εἰς γῆν βλέποντα, ὥστε διακόπτειν[2] ὅτῳ ἐντυγχάνοιεν. ὃ[3] μέντοι Κῦρος εἶπεν ὅτε καλέσας παρεκελεύετο τοῖς Ἕλλησι τὴν κραυγὴν τῶν βαρβάρων ἀνέχεσθαι, ἐψεύσθη τοῦτο· οὐ γὰρ κραυγῇ ἀλλὰ σιγῇ καὶ ἡσυχῇ καὶ βραδέως προσῇσαν.

2. Καὶ ἐν τούτῳ Κῦρος παρελαύνων αὐτὸς[4] σὺν τῷ ἑρμηνεῖ καὶ ἄλλοις τρισὶν ἢ τέτταρσι τῷ Κλεάρχῳ ἐβόα ἄγειν τὸ στράτευμα κατὰ μέσον τὸ τῶν πολεμίων, ὅτι ἐκεῖ βασιλεὺς εἴη.[5] ἀλλ' ὅμως ὁ Κλέαρχος οὐκ ἤθελεν ἀποσπάσαι ἀπὸ τοῦ ποταμοῦ τὸ δεξιὸν κέρας, φοβούμενος μὴ κυκλωθείη ἑκατέρωθεν, τῷ δὲ Κύρῳ ἀπεκρίνατο ὅτι αὐτῷ μέλοι ὅπως καλῶς ἕξει.[6] καὶ ἐν τούτῳ τὸ μὲν βαρβαρικὸν στράτευμα ὁμαλῶς προῄει, τὸ δὲ Ἑλληνικὸν ἔτι ἐν τῷ αὐτῷ μένον[7] συνετάττετο ἐκ τῶν ἔτι προσιόντων. καὶ ὁ Κῦρος παρελαύνων κατεθεᾶτο ἑκατέρωσε ἀποβλέπων εἴς τε τοὺς πολεμίους καὶ τοὺς φίλους. ἰδὼν δὲ αὐτὸν ἀπὸ τοῦ Ἑλληνικοῦ Ξενοφῶν Ἀθηναῖος ὑπελάσας[8] ὡς συναντῆσαι, ἤρετο εἴ τι παραγγέλλοι.[9] ὁ δὲ Κῦρος λέγειν ἐκέλευσε πᾶσιν ὅτι τὰ ἱερὰ

---

[1] From ἀπο-τείνω.

[2] ὥστε . . . διακόπτειν, 442.

[3] Acc. Its antecedent is τοῦτο; cf. 102.

[4] αὐτός: *i.e.* with only the persons mentioned.

[5] His words were: ὅτι ἐκεῖ βασιλεύς ἐστιν.

[6] ὅτι . . . μέλοι . . . ἕξοι, indir. disc. for ἐμοὶ μέλει ὅπως καλῶς ἕξῃ.

[7] Acc. neu. of pres. act. partic.

[8] From ὑπ-ελαύνω.

[9] *If he had any commands.* What literally? What is the form in direct discourse?

Digitized by Google

καλά ἐστι. ταῦτα δὲ λέγων θορύβου ἤκουσε διὰ τῶν τάξεων ἰόντος, καὶ ἤρετο τίς ὁ θόρυβος εἴη. ὁ δὲ Κλέαρχος εἶπεν ὅτι σύνθημα παρέρχεται δεύτερον ἤδη. Καὶ οὗτος ἤρετο ὅ τι εἴη τὸ σύνθημα. ὁ δ' ἀπεκρίνατο, Ζεὺς σωτὴρ καὶ νίκη. ὁ δὲ Κῦρος ἀκούσας, Ἀλλὰ δέχομαί τε, ἔφη, καὶ τοῦτο ἔστω. Ταῦτα δ' εἰπὼν εἰς τὴν αὑτοῦ χώραν[1] ἀπήλαυνε.

3. Καὶ οὐκέτι τρία ἢ τέτταρα στάδια διειχέτην[2] τὼ φάλαγγε ἀπ' ἀλλήλων ἡνίκα ἐπαιάνιζόν τε οἱ Ἕλληνες καὶ ἦρχοντο[3] ἀντίοι ἰέναι τοῖς πολεμίοις. ἔνιοι δὲ ἤρξαντο δρόμῳ θεῖν. λέγουσι δέ τινες ὡς καὶ ἐβόων πάντες καὶ ταῖς ἀσπίσι πρὸς τὰ δόρατα ἐδούπησαν φόβον ποιοῦντες τοῖς ἵπποις. πρὶν δὲ τόξευμα ἐξικνεῖσθαι ἐκκλίνουσιν οἱ βάρβαροι καὶ φεύγουσι· καὶ ἐνταῦθα δὴ ἐδίωκον[4] μὲν κατὰ κράτος οἱ Ἕλληνες, ἐβόων δὲ ἀλλήλοις μὴ θεῖν δρόμῳ[5], ἀλλ' ἐν τάξει ἕπεσθαι· τὰ δ' ἅρματα ἐφέροντο τὰ μὲν δι' αὐτῶν τῶν πολεμίων, τὰ δὲ καὶ[6] διὰ τῶν Ἑλλήνων κενὰ ἡνιόχων.[7] οἱ δὲ διίσταντο καὶ ἐν πάσῃ τῇ μάχῃ τῶν Ἑλλήνων ἔπαθεν οὐδεὶς οὐδέν. Κῦρος δὲ ἥδεται καὶ ἤδη ὡς βασιλεὺς προσκυνεῖται ὑπὸ τῶν ἀμφ' αὐτόν.



---

[1] χώραν, *i.e.* as commander-in-chief.

[2] Dual: see 517. Notice the force of διά here. Cf. *dis*-iungo, in Latin.

[3] Not from ἔρχομαι.

[4] *Began to pursue.*

[5] 300.

[6] *Even.*

[7] p. 127, n. 3.

Digitized by Google

οὐ μέντοι ἐξάγεται διώκειν, ἀλλὰ συνεσπειραμένην ἔχων τὴν τῶν σὺν ἑαυτῷ ἑξακοσίων ἱππέων τάξιν ἐπιμελεῖται ὅ τι ποιήσει βασιλεύς. πάντες γὰρ οἱ τῶν βαρβάρων ἄρχοντες μέσον ἔχοντες τὸ αὐτῶν ἡγοῦνται.[1] καὶ βασιλεὺς δὴ τότε μέσον ἔχων τῆς αὐτοῦ στρατιᾶς ὅμως ἔξω ἐγένετο τοῦ Κύρου εὐωνύμου κέρατος.

4. Ἐπεὶ δ' οὐδεὶς αὐτῷ ἐμάχετο ἐκ τοῦ ἐναντίου ἐπέκαμπτε βασιλεὺς ὡς εἰς κύκλωσιν. ἔνθα δὴ Κῦρος δείσας μὴ ὄπισθεν γενόμενος[2] κατακόψῃ τὸ Ἑλληνικὸν

ἐλαύνει ἀντίος.[3] καὶ ἐμβαλὼν σὺν τοῖς ἑξακοσίοις νικᾷ τοὺς πρὸ βασιλέως τεταγμένους καὶ εἰς φυγὴν ἔτρεψε τοὺς ἑξακισχιλίους, καὶ ἀποκτεῖναι λέγεται αὐτὸς τῇ ἑαυτοῦ χειρὶ τὸν ἄρχοντα αὐτῶν. οἱ δὲ Κύρου ἑξακόσιοι οἴχονται διώκοντες πλὴν πάνυ ὀλίγων ἀμφ' αὐτόν. σὺν τούτοις δὲ ὢν καθορᾷ βασιλέα καὶ τὸ ἀμφ' ἐκεῖνον στῖφος· καὶ εὐθὺς οὐκ ἀνέχεται, ἀλλ' εἰπών, Τὸν ἄνδρα ὁρῶ, ἴετο ἐπ' αὐτὸν καὶ παίει κατὰ τὸ στέρνον καὶ τιτρώσκει διὰ τοῦ θώρακος. παίοντα δὲ αὐτὸν[4] ἀκοντίζει τις παλτῷ ὑπὸ τὸν ὀφθαλμὸν βιαίως· καὶ ἐνταῦθα μαχόμενοι καὶ Κῦρος αὐτὸς ἀπέθανε καὶ ὀκτὼ οἱ ἄριστοι τῶν περὶ αὐτὸν ἔκειντο ἐπ'

---

[1] Pres. of a general truth.
[2] *i.e.* the king.
[3] ἐλαύνει ἀντίος, *rode to meet.*
[4] Cyrus.

Digitized by Google

αὐτῷ. Ἀρταπάτης δ' ὁ πιστότατος αὐτῷ τῶν σκηπτούχων λέγεται ἐπειδὴ πεπτωκότα[1] εἶδε Κῦρον καταπηδήσας ἀπὸ τοῦ ἵππου περιπεσεῖν[2] αὐτῷ.[3] οὗτος γὰρ ἐτετίμητο ὑπὸ Κύρου δι' εὔνοιάν τε καὶ πιστότητα.

485. THE PEACE OF ANTALCIDAS

[Hellenica V. i. 28–36]

5. Ἐκ δὲ τούτου Ἀνταλκίδας γενομέναις ταῖς πάσαις ναυσὶ[4] πλείοσιν ἢ ὀγδοήκοντα ἐκράτει τῆς θαλάττης·[5] ὥστε καὶ τὰς ἐκ τοῦ Πόντου ναῦς Ἀθήναζε μὲν ἐκώλυε καταπλεῖν, εἰς δὲ τοὺς ἑαυτῶν συμμάχους κατῆγεν. οἱ μὲν οὖν Ἀθηναῖοι, ὁρῶντες μὲν πολλὰς[6] τὰς πολεμίας ναῦς, φοβούμενοι δὲ μὴ ὡς πρότερον[7] καταπολεμηθείησαν, συμμάχου Λακεδαιμονίοις βασιλέως γεγενημένου, πολιορκούμενοι δὲ ἐκ τῆς Αἰγίνης ὑπὸ τῶν λῃστῶν, διὰ ταῦτα μὲν ἰσχυρῶς ἐπεθύμουν τῆς εἰρήνης.[8] οἱ δ' αὖ Λακεδαιμόνιοι, φυλάττοντες τὰς πόλεις, αἷς μὲν ἐπίστευον, μὴ ἀπόλοιντο, αἷς δὲ ἠπίστουν, μὴ ἀποσταῖεν,[9] πράγματα δ' ἔχοντες καὶ παρέχοντες περὶ τὴν Κόρινθον, χαλεπῶς ἔφερον τῷ πολέμῳ.[4] οἵ γε μὴν Ἀργεῖοι, εἰδότες[10] φρουρὰν πεφασμένην ἐφ' ἑαυτούς, καὶ οὗτοι εἰς τὴν εἰρήνην πρόθυμοι ἦσαν.

---

[1] From πίπτω. [2] From περι-πίπτω. [3] 238. [4] 300.
[5] 187, c. [6] Predicate. [7] *i.e.* at Aegospotami, B.C. 404.
[8] 187, b. [9] From ἀφ-ίστημι.
[10] From οἶδα. *When they knew that a levy had been.*

Digitized by Google

6. Ὥστ' ἐπεὶ παρήγγειλεν ὁ Τιρίβαζος παρεῖναι τοὺς βουλομένους ὑπακοῦσαι ἣν βασιλεὺς εἰρήνην[1]

καταπέμποι, ταχέως πάντες παρεγένοντο. ἐπεὶ δὲ συνῆλθον, ἐπιδείξας ὁ Τιρίβαζος τὰ βασιλέως σημεῖα ἀνεγίγνωσκε τὰ γεγραμμένα. εἶχε[2] δὲ ὧδε.

Ἀρταξέρξης βασιλεὺς νομίζει δίκαιον[3] τὰς μὲν ἐν τῇ Ἀσίᾳ πόλεις ἑαυτοῦ[4] εἶναι καὶ τῶν νήσων Κλαζομενὰς καὶ Κύπρον, τὰς δὲ ἄλλας Ἑλληνίδας πόλεις καὶ μικρὰς καὶ μεγάλας αὐτονόμους εἶναι, πλὴν τριῶν· ταύτας δὲ ὥσπερ τὸ ἀρχαῖον εἶναι Ἀθηναίων.[4] ὁπότεροι δὲ ταύτην τὴν εἰρήνην μὴ δέχονται, τούτοις ἐγὼ πολεμήσω[5] μετὰ τῶν ταὐτὰ[6] βουλομένων καὶ πεζῇ καὶ κατὰ θάλατταν καὶ ναυσὶ[7] καὶ χρήμασιν.

7. Ἀκούοντες οὖν ταῦτα οἱ ἀπὸ τῶν πόλεων πρέσβεις ἀπήγγελλον ἐπὶ τὰς ἑαυτῶν ἕκαστοι πόλεις. καὶ οἱ μὲν ἄλλοι ἅπαντες ὤμνυσαν ἐμπεδώσειν ταῦτα, οἱ δὲ Θηβαῖοι ἠξίουν ὑπὲρ πάντων Βοιωτῶν ὀμνύναι. ὁ δὲ Ἀγησίλαος οὐκ ἔφη[8] δέξασθαι τοὺς ὅρκους, ἐὰν μὴ ὀμνύωσιν, ὥσπερ τὰ βασιλέως γράμματα ἔλεγεν, αὐτονόμους εἶναι καὶ μικρὰν καὶ μεγάλην πόλιν. οἱ δὲ τῶν Θηβαίων πρέσβεις ἔλεγον ὅτι οὐκ ἐπεσταλμένα σφίσι ταῦτ' εἴη. Ἴτε νῦν, ἔφη ὁ Ἀγησίλαος, καὶ ἐρωτᾶτε·

---

[1] ἣν εἰρήνην, for τῇ εἰρήνῃ ἣν the antecedent being attracted into the relative clause. *The terms of the peace which.*

[2] How is ἔχω translated when followed by an adverb?

[3] Sc. εἶναι. [4] Predicate genitive.

[5] Notice the change in person. [6] Not ταῦτα. [7] 300.

[8] οὐκ ἔφη, like Lat. *nego*, *said that he did not*, i.e. *refused to.*

Digitized by Google

ἐπαγγέλλετε δ' αὐτοῖς[1] καὶ ταῦτα, ὅτι εἰ μὴ ποιήσουσι ταῦτα, ἔκσπονδοι ἔσονται. — οἱ μὲν δὴ ᾤχοντο. ὁ δ' Ἀγησίλαος διὰ τὴν πρὸς Θηβαίους ἔχθραν οὐκ ἔμελλεν, ἀλλὰ πείσας τοὺς ἐφόρους εὐθὺς ἀφίκετο εἰς τὴν Τεγέαν. πρὶν δὲ αὐτὸν ὁρμηθῆναι[2] ἐκ Τεγέας,[3] παρῆσαν οἱ Θηβαῖοι λέγοντες ὅτι ἀφιᾶσι τὰς πόλεις αὐτονόμους. καὶ οὕτω οἱ Λακεδαιμόνιοι μὲν οἴκαδε ἀπῆλθον, Θηβαῖοι δ' εἰς τὰς σπονδὰς εἰσελθεῖν ἠναγκάσθησαν, αὐτονόμους ἀφέντες[4] τὰς Βοιωτίας πόλεις.

8. Οἱ δ' αὖ Κορίνθιοι οὐκ ἐξέπεμπον τὴν τῶν Ἀργείων φρουράν. ἀλλ' ὁ Ἀγησίλαος καὶ τούτοις προεῖπε, τοῖς μέν, εἰ μὴ ἐκπέμψοιεν[5] τοὺς Ἀργείους, τοῖς δέ, εἰ μὴ ἀπίοιεν[5] ἐκ τῆς Κορίνθου, ὅτι πόλεμον ἐξοίσει[5] πρὸς αὐτούς. ἐπεὶ δὲ φοβηθέντων ἀμφοτέρων ἐξῆλθον οἱ Ἀργεῖοι καὶ αὐτὴ ἐφ' ἑαυτῆς[6] ἡ τῶν Κορινθίων πόλις ἐγένετο, οἱ μὲν σφαγεῖς καὶ οἱ μεταίτιοι τοῦ ἔργου αὐτοὶ γνόντες ἀπῆλθον ἐκ τῆς Κορίνθου· οἱ δ' ἄλλοι πολῖται ἄκοντες κατεδέχοντο τοὺς πρόσθεν φεύγοντας. ἐπεὶ δὲ τοῦτ' ἐπράχθη καὶ ὠμωμόκεσαν[7] αἱ πόλεις ἐμμενεῖν ἐν τῇ εἰρήνῃ ἣν κατέπεμψε βασιλεύς, ἐκ τούτου διελύθη μὲν τὰ πεζικά, διελύθη δὲ καὶ τὰ ναυτικὰ στρατεύματα. Λακεδαιμονίοις μὲν δὴ καὶ Ἀθηναίοις καὶ τοῖς συμμά-

---

[1] *αὐτοῖς*, *i.e.* the authorities at home.

[2] *πρὶν ὁρμηθῆναι*, 452.

[3] On the northern border of Laconia.

[4] 2d. aor. partic. of *ἀφ-ίημι*.

[5] A vivid future condition in indirect discourse.

[6] *αὐτὴ ἐφ' ἑαυτῆς*, *independent, herself upon herself.*

[7] From *ὀμνῦμι*.

Digitized by Google

χοις οὕτω μετὰ τὸν ὕστερον πόλεμον τῆς καθαιρέσεως[1] τῶν Ἀθήνησι τειχῶν αὕτη πρώτη εἰρήνη ἐγένετο.

9. Ἐν δὲ τῷ πολέμῳ μᾶλλον ἀντιρρόπως τοῖς ἐναντίοις[2] πράττοντες οἱ Λακεδαιμόνιοι πολὺ ἐπικυδέστεροι ἐγένοντο ἐκ[3] τῆς Ἀνταλκίδου εἰρήνης καλουμένης. προστάται γὰρ γενόμενοι τῆς ὑπὸ βασιλέως καταπεμφθείσης εἰρήνης καὶ τὴν αὐτονομίαν ταῖς πόλεσι πράττοντες, προσέλαβον μὲν σύμμαχον Κόρινθον, αὐτονόμους δὲ ἀπὸ τῶν Θηβαίων τὰς Βοιωτίδας πόλεις ἐποίησαν, οὗπερ[4] πάλαι ἐπεθύμουν, ἔπαυσαν δὲ καὶ Ἀργείους Κόρινθον σφετεριζομένους,[5] φρουρὰν φήναντες ἐπ' αὐτούς, εἰ μὴ ἐξίοιεν ἐκ Κορίνθου.

486. GOBRYAS BEFORE CYRUS

[Cyropaedia IV. vi. 1–10]

10. Ἐν δὲ τούτῳ Γωβρύας παρῆν Ἀσσύριος πρεσβύτης ἀνὴρ ἐφ' ἵππου σὺν ἱππικῇ θεραπείᾳ· εἶχον δὲ πάντες τὰ ἐφ' ἵππων[6] ὅπλα. καὶ οἱ μὲν ἐπὶ τῷ[7] τὰ ὅπλα παραλαμβάνειν[7] τεταγμένοι ἐκέλευον παραδιδόναι τὰ ξυστά, ὅπως κατακαίοιεν ὥσπερ τἄλλα.[8] ὁ δὲ Γωβρύας εἶπεν ὅτι Κῦρον πρῶτον βούλοιτο ἰδεῖν· καὶ οἱ ὑπηρέται τοὺς μὲν ἄλλους ἱππέας αὐτοῦ κατέλιπον, τὸν δὲ Γωβρύαν ἄγουσι πρὸς τὸν Κῦρον. ὁ δὲ ὡς εἶδε

[1] gen. after ὕστερον (225).
[2] dat. after ἀντιρρόπως (236).
[3] ἐκ, *as a result of*.
[4] 187, b.
[5] From σφέτερος (σφεῖς), *one's own*.
[6] ἐφ' ἵππων = ἱππικά.
[7] ἐπὶ τῷ . . . λαμβάνειν (263).
[8] By crasis for τὰ ἄλλα.

Digitized by Google

τὸν Κῦρον, ἔλεξεν· Ὦ δέσποτα, ἐγώ εἰμι τὸ μὲν γένος[1] Ἀσσύριος· ἔχω δὲ καὶ τεῖχος ἰσχυρὸν καὶ χώρας[2] ἐπάρχω πολλῆς· καὶ ἵππον ἔχω δ' εἰς χιλίαν τριακοσίαν, ἣν τῷ τῶν Ἀσσυρίων βασιλεῖ[3] παρειχόμην καὶ φίλος ἦν ἐκείνῳ ὡς μάλιστα· ἐπεὶ δὲ ἐκεῖνος μὲν τέθνηκεν ὑφ' ὑμῶν[4] ἀνὴρ ἀγαθὸς ὤν, ὁ δὲ παῖς ἐκείνου τὴν ἀρχὴν ἔχει ἔχθιστος ὢν μοι,[5] ἥκω πρὸς σὲ καὶ ἱκέτης προσπίπτω καὶ δίδωμί σοι ἐμαυτὸν δοῦλον[6] καὶ σύμμαχον, σὲ δὲ τιμωρὸν αἰτοῦμαι ἐμοὶ γενέσθαι· καὶ παῖδα οὕτως ὡς δυνατόν σε ποιοῦμαι· ἄπαις δέ εἰμι ἀρρένων παίδων.[7]

11. Ὃς γὰρ[8] ἦν μοι μόνος καὶ καλὸς καὶ ἀγαθός, ὦ δέσποτα, καὶ ἐμὲ φιλῶν καὶ τιμῶν ὥσπερ ἂν εὐδαίμονα πατέρα παῖς τιμῶν τιθείη,[9] τοῦτον ὁ νῦν βασιλεὺς οὗτος καλέσαντος τοῦ τότε βασιλέως, πατρὸς δὲ τοῦ νῦν,[10] ὡς δώσοντος[11] τὴν θυγατέρα τῷ ἐμῷ παιδί, ἐγὼ μὲν ἀπεπεμψάμην μέγα φρονῶν ὅτι δῆθεν τῆς βασιλέως θυγατρὸς ὀψοίμην τὸν ἐμὸν υἱὸν γαμέτην, ὁ δὲ νῦν βασιλεὺς[12] εἰς θήραν αὐτὸν παρακαλέσας, καὶ ἀνεὶς[13] αὐτῷ θηρᾶν ἀνὰ

---

[1] Acc. [2] Gen. 187, c. [3] Indirect object of παρ-ειχόμην.
[4] *at your hands.* [5] 236. [6] In apposition with ἐμαυτόν.
[7] ἄπαις . . . παίδων, *childless of male offspring*, i.e. *I have no sons.*
[8] ὃς γάρ, *for he.*
[9] Potential, *could make.* τιμῶν denotes the means, 271, b.
[10] τοῦ νῦν, *the present king.* [11] 271, δ.
[12] βασιλεύς repeats βασιλεύς four lines above. [13] From ἀν-ἵημι.

Digitized by Google

κράτος, ὡς πολὺ κρείττων αὐτοῦ ἱππεὺς ἡγούμενος εἶναι, ὁ μὲν ὡς φίλῳ συνεθήρα, φανείσης δ' ἄρκτου[1] διώκοντες ἀμφότεροι, ὁ μὲν νῦν ἄρχων οὗτος ἀκοντίσας ἥμαρτεν, ὡς μήποτ' ὤφελεν,[2] ὁ δ' ἐμὸς παῖς βαλών, οὐδὲν δέον,[3] καταβάλλει τὴν ἄρκτον. καὶ τότε μὲν δὴ ἀνιαθεὶς ἄρ' οὗτος κατέσχεν ὑπὸ σκότου τὸν φθόνον·[4] ὡς δὲ πάλιν λέοντος παρατυχόντος ὁ μὲν αὖ ἥμαρτεν, οὐδὲν θαυμαστὸν οἶμαι παθών, ὁ δ' αὖ ἐμός παῖς αὖθις τυχὼν[5] κατειργάσατό τε τὸν λέοντα καὶ εἶπεν, Ἆρα βέβληκα δὶς ἐφεξῆς καὶ καταβέβληκα θῆρα ἑκατεράκις, ἐν τούτῳ δὲ οὐκέτι κατίσχει ὁ ἀνόσιος τὸν φθόνον, ἀλλ' αἰχμὴν παρά τινος τῶν ἑπομένων ἁρπάσας, παίσας εἰς τὰ στέρνα τὸν μόνον μοι καὶ φίλον παῖδα ἀφείλετο[6] τὴν ψυχήν.

12. Κἀγὼ μὲν ὁ τάλας νεκρὸν ἀντὶ νυμφίου ἐκομισάμην καὶ ἔθαψα τηλικοῦτος[7] ὢν ἄρτι γενειάσκοντα τὸν ἄριστον παῖδα τὸν ἀγαπητόν· ὁ δὲ κατακανὼν ὥσπερ ἐχθρὸν ἀπολέσας οὔτε μεταμελόμενος πώποτε φανερὸς ἐγένετο οὔτε ἀντὶ τοῦ κακοῦ ἔργου τιμῆς τινος ἠξίωσε[8] τὸν κατὰ γῆς.[9] ὅ γε μὴν πατὴρ αὐτοῦ καὶ συνῴκτισέ με καὶ δῆλος ἦν[10] συναχθόμενός μου τῇ

---

[1] 273.

[2] Sc. ἁμαρτεῖν, *would that he had never missed his aim.*

[3] *it being in no respect* (102) *necessary* (459), i.e. *when he should not.*

[4] κατ-έσχεν . . . φθόνον, *kept his grudge concealed.*

[5] *as it happened,* "*as luck would have it.*"

[6] 2d aor. mid. of ἀφ-αιρέω.

[7] *old as I am, at my age.*

[8] Translate literally, *deemed worthy.*

[9] *him who is underground.*

[10] δῆλος ἦν, *was evidently,* etc.; cf. 469.

Digitized by Google

ξυμφορᾷ. ἐγὼ μὲν οὖν, εἰ μὲν ἔζη ἐκεῖνος, οὐκ ἄν ποτε ἦλθον πρὸς σὲ ἐπὶ τῷ ἐκείνου κακῷ· πολλὰ γὰρ φιλικὰ ἔπαθον ὑπ' ἐκείνου[1] καὶ ὑπηρέτησα ἐκείνῳ· ἐπεὶ δὲ εἰς τὸν τοῦ ἐμοῦ παιδὸς φονέα ἡ ἀρχὴ περιήκει, οὐκ ἄν ποτε τούτῳ ἐγὼ δυναίμην εὔνους γενέσθαι, οὐδὲ οὗτος εὖ οἶδ' ὅτι φίλον ἄν ποτ' ἐμὲ ἡγήσαιτο.[2] οἶδε γὰρ ὡς[3] ἐγὼ πρὸς αὐτὸν ἔχω καὶ ὡς[4] πρόσθεν φαιδρῶς βιοτεύων νῦν διάκειμαι, ἔρημος ὢν καὶ διὰ πένθους[5] τὸ γῆρας διάγων.

13. Εἰ οὖν σύ με δέχῃ καὶ ἐλπίδα τινὰ λάβοιμι τῷ φίλῳ παιδὶ τιμωρίας[6] ἄν τινος μετὰ σοῦ τυχεῖν καὶ ἀνηβῆσαι ἂν[7] πάλιν δοκῶ μοι καὶ οὔτε ζῶν ἂν ἔτι αἰσχυνοίμην οὔτε ἀποθνήσκων ἀνιώμενος ἂν τελευτᾶν δοκῶ. — ὁ μὲν οὕτως εἶπε. Κῦρος δ' ἀπεκρίνατο· Ἀλλ' ἤνπερ, ὦ Γωβρύα, καὶ φρονῶν φαίνῃ ὅσαπερ λέγεις πρὸς ἡμᾶς, δέχομαί τε ἱκέτην σε καὶ τιμωρήσειν σοι τοῦ παιδὸς[8] σὺν θεοῖς ὑπισχνοῦμαι. λέξον δέ μοι, ἔφη, ἐάν σοι ταῦτα ποιῶμεν καὶ τὰ τείχη ἐῶμεν ἔχειν σε καὶ τὴν χώραν καὶ τὴν δύναμιν ἥνπερ πρόσθεν εἶχες, σὺ ἡμῖν[9] τί[10] ἀντὶ τούτων ὑπηρετήσεις;

14. Ὁ δὲ εἶπε· Τὰ μὲν τείχη, ὅταν ἔλθῃς, οἰκόν σοι παρέξω· δασμὸν δὲ τῆς χώρας ὅνπερ ἔφερον ἐκείνῳ

---

[1] ἔπαθον ὑπ' ἐκείνου, *received at his hands.*
[2] νομίζοι. [3] ὡς, *how*, w. ἔχω.
[4] *and in what a state I am now, who formerly.*
[5] διὰ πένθους = ἐν πένθει. [6] 187, a.
[7] With ἀνηβῆσαι, *I think that I should.*
[8] Gen. of cause, *avenge you on account of your son.*
[9] Dat. after ὑπηρετήσεις. [10] Cf. 102.

Digitized by Google

σοὶ ἀποίσω· καὶ ὅποι ἂν στρατεύσῃ, συστρατεύσομαι τὴν ἐκ τῆς χώρας δύναμιν ἔχων. ἔστι δέ μοι, ἔφη, καὶ θυγάτηρ πάρθενος ἀγαπητὴ γάμου[1] ἤδη ὡραία, ἣν ἐγὼ πρόσθεν μὲν ᾤμην τῷ νῦν βασιλεύοντι γυναῖκα[2] τρέφειν· νῦν δὲ αὐτή τέ μοι ἡ θυγάτηρ πολλὰ γοωμένη[3] ἱκέτευσε μὴ δοῦναι αὐτὴν τῷ τοῦ ἀδελφοῦ φονεῖ, ἐγώ τε ὡσαύτως γιγνώσκω. νῦν δέ σοι δίδωμι βουλεύσασθαι καὶ περὶ ταύτης οὕτως ὥσπερ ἂν καὶ ἐγὼ βουλεύων περὶ σοῦ φαίνωμαι.— οὕτω δὴ ὁ Κῦρος εἶπεν, Ἐὰν ταῦτα, ἔφη, ἀληθεύσῃς, ἐγὼ δίδωμί σοι τὴν ἐμὴν καὶ λαμβάνω τὴν σὴν δεξιάν· θεοὶ δὲ ἡμῖν μάρτυρες ἔστων.— ἐπεὶ δὲ ταῦτα ἐπράχθη, ἀπιέναι τε κελεύει τὸν Γωβρύαν ἔχοντα τὰ ὅπλα καὶ ἐπήρετο πόση τις ὁδὸς ὡς αὐτὸν[4] εἴη. ὁ δ' ἔλεγεν, Ἥν αὔριον ἴῃς πρωί, τῇ ἑτέρᾳ[5] ἂν αὐλίζοιο παρ' ἡμῖν.— οὕτω δὴ οὗτος μὲν ᾤχετο ἡγεμόνα καταλιπών.

487. THE CHOICE OF HERACLES

[Memorabilia II. i. 21–34]

15. Πρόδικος δὲ ὁ σοφὸς φησιν Ἡρακλέα, ἐπεὶ ἐκ παίδων[6] εἰς ἥβην ὡρμᾶτο, ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνόμενοι δηλοῦσιν εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον, εἴτε τὴν διὰ κακίας, ἐξελθόντα[7] εἰς ἡσυχίαν

[1] Gen. dependent on *ὡραία*, *of suitable age for*.
[2] In apposition with *ἥν*. [3] *πολλὰ γοωμένη*, *with many tears*.
[4] *ὡς αὐτόν*, *to him*, i.e. *to his castle*. [5] Sc. *ἡμέρᾳ*. [6] *boyhood*.
[7] Agrees with *Ἡρακλέα*. Notice that the entire paragraph is indirect discourse after *φησίν*.

Digitized by Google

καθῆσθαι, ἀποροῦντα ὁποτέραν τῶν ὁδῶν τράπηται· καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προϊέναι μεγάλας, τὴν μὲν ἑτέραν[1] εὐπρεπῆ τε ἰδεῖν[2] καὶ ἐλευθέριον, φύσει κεκοσμημένην τὸ μὲν σῶμα καθαρότητι,[3] τὰ δὲ ὄμματα αἰδοῖ,[3] τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ· τὴν δ' ἑτέραν[1] τεθραμμένην[4] μὲν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα,[5] ὥστε[6] λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος[7] δοκεῖν[6] φαίνεσθαι, τὸ δὲ σχῆμα, ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι, τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δέ, ἐξ ἧς ἂν μάλιστα ὥρα διαλάμποι,[8] κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτήν, ἐπισκοπεῖν δὲ καί, εἴ[9] τις ἄλλος αὐτὴν θεᾶται, πολλάκις δὲ καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀποβλέπειν.

16. Ὡς δ' ἐγένοντο πλησιαίτερον τοῦ Ἡρακλέους,[10] τὴν μὲν πρόσθεν (ἔφη ὁ Πρόδικος) ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον,[11] τὴν δ' ἑτέραν φθάσαι βουλομένην προσδραμεῖν[12] τῷ Ἡρακλεῖ[13] καὶ εἰπεῖν· Ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα[14] ποίαν ὁδὸν[15] ἐπὶ τὸν βίον τράπῃ· ἐὰν μὲν ἐμὲ φίλην ποιησάμενος, ἐπὶ τὴν

---

[1] *the one . . . the other.*
[2] *comely to look upon*, i.e. *in appearance.* Cf. 261, δ.
[3] 300. [4] From τρέφω. [5] 102. [6] ὥστε δοκεῖν, 442.
[7] 225. [8] Potential. [9] *To see if.*
[10] An exception to 236. [11] Adverbial, *at the same pace.*
[12] After ἔφη. [13] 238. [14] 468.
[15] Cognate accusative.

Digitized by Google

ἡδίστην τε καὶ ῥᾴστην ὁδὸν ἄξω σε, καὶ τῶν μὲν τερπνῶν οὐδενὸς[1] ἄγευστος ἔσει, τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσει. πρῶτον μὲν γὰρ οὐ πολέμων[2] οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ σκοπούμενος[3] διέσει, τί ἂν κεχαρισμένον ἢ σιτίον ἢ ποτὸν εὕροις, ἢ τί ἂν ἰδὼν ἢ τί ἀκούσας τερφθείης, ἢ τίνων[4] ἂν ὀσφραινόμενος ἢ ἁπτόμενος ἡσθείης καὶ πῶς ἂν μαλακώτατα καθεύδοις, καὶ πῶς ἂν ἀπονώτατα τούτων[5] πάντων τυγχάνοις. ἐὰν δέ ποτε γένηταί τις ὑποψία σπάνεως[6] ἀφ' ὧν ἔσται ταῦτα, οὐ φόβος, μή σε ἀγάγω ἐπὶ τὸ[7] πονοῦντα καὶ ταλαιπωροῦντα τῷ σώματι καὶ τῇ ψυχῇ ταῦτα πορίζεσθαι· ἀλλ' οἷς[8] ἂν οἱ ἄλλοι ἐργάζωνται τούτοις σὺ χρήσει, οὐδενὸς[9] ἀπεχόμενος, ὅθεν ἂν δυνατὸν ᾖ τι κερδᾶναι· πανταχόθεν γὰρ ὠφελεῖσθαι τοῖς ἐμοὶ συνοῦσιν ἐξουσίαν ἔγωγε παρέχω.

17. Καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα· Ὦ γύναι,[10] ἔφη, ὄνομα δέ σοι τί ἐστιν; ἡ δέ· Οἱ μὲν ἐμοὶ φίλοι, ἔφη, καλοῦσί με Εὐδαιμονίαν,[11] οἱ δὲ μισοῦντές με ὑποκοριζόμενοι ὀνομάζουσί με Κακίαν.[11] καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπε· Καὶ ἐγὼ ἥκω πρὸς

---

[1] Obj. gen. after ἄγευστος, connected with γεύομαι, which takes the genitive 187, b. So ἄπειρος.

[2] Gen. of cause.

[3] Expresses manner, but ἰδών, ἀκούσας, etc., means.

[4] 187, b. [5] 187, a. [6] Objective gen.

[7] τό belongs to πορίζεσθαι. πονοῦντα and ταλαιπωροῦντα agree with the omitted subject of πορίζεσθαι, and express means.

[8] Object of ἐργάζωνται, attracted into the case of its antecedent, τούτοις, which is dat. after χρήσει. Cf. *utor* in Latin.

[9] 141. [10] voc. of γυνή, *lady, madam*; cf. 367. [11] 255.

Digitized by Google

σέ, ὦ Ἡράκλεις, εἰδυῖα[1] τοὺς γεννήσαντάς σε,[2] καὶ τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα· ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἐργάτην ἀγαθὸν γενέσθαι, καὶ ἐμὲ[3] ἔτι πολὺ ἐντιμοτέραν καὶ ἐπ' ἀγαθοῖς διαπρεπεστέραν φανῆναι·[4] οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ', ᾗπερ οἱ θεοὶ διέθεσαν, τὰ ὄντα διηγήσομαι μετ' ἀληθείας. τῶν γὰρ ὄντων[5] ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις·

18. ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον[6] τοὺς θεούς· εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον· εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον· εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς[7] ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν· εἴτε γῆν βούλει σοι καρποὺς ἀφθόνους φέρειν, τὴν γῆν θεραπευτέον· εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων[8] ἐπιμελητέον· εἴτε διὰ πολέμου ὁρμᾷς αὔξεσθαι, καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον, καὶ ὅπως αὐταῖς δεῖ χρῆσθαι ἀσκητέον· εἰ δὲ καὶ τῷ σώματι[9] βούλει

---

[1] Partic. of οἶδα. [2] *τοὺς γεννήσαντάς σε, your parents.*
[3] Expressed for contrast. Cf. 310, end.
[4] 2d aor. pass. of *φαίνω*, w. force of mid., *appear.*
[5] *the things which are*, partitive gen. w. *οὐδέν.*
[6] 427. [7] *expect, desire.* [8] 187, b.
[9] Dative of respect, a form of the dative of manner (300).

Digitized by Google

δυνατὸς εἶναι, τῇ γνώμῃ[1] ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι.

19. Καὶ ἡ Κακία ὑπολαβοῦσα εἶπεν, ὥς φησι Πρόδικος· Ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε. Καὶ ἡ Ἀρετὴ εἶπεν· Ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις; ἢ τί ἡδὺ οἶσθα, μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα; ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, ἀλλά, πρὶν ἐπιθυμῆσαι, πάντων[2] ἐμπίπλασαι, πρὶν μὲν πεινῆν[3] ἐσθίουσα, πρὶν δὲ διψῆν πίνουσα, ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιοὺς μηχανωμένη, ἵνα δὲ ἡδέως πίῃς, οἴνους τε πολυτελεῖς παρασκευάζει, καὶ τοῦ θέρους[4] χιόνα περιθέουσα ζητεῖς· ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον τὰς στρωμνὰς μαλακάς, ἀλλὰ καὶ τὰς κλίνας καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζει· οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν ὅ τι ποιῇς,[5] ὕπνου ἐπιθυμεῖς.

20. ἀθάνατος δὲ οὖσα[6] ἐκ θεῶν μὲν ἀπέρριψαι, ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζει. τοῦ δὲ πάντων ἡδίστου ἀκούσματος,[7] ἐπαίνου ἑαυτῆς, ἀνήκοος εἶ, καὶ τοῦ πάντων ἡδίστου θεάματος ἀθέατος· οὐδὲν γὰρ πώποτε

---

[1] P. 175, n. 9. [2] P. 127, n. 3.

[3] πεινάω contracts αε into η, so also διψάω and ζάω.

[4] 293.

[5] μηδὲν . . . ὅ τι ποιῇς, *nothing to do*, obj. of ἔχειν.

[6] Concessive, *though*, etc.

[7] Gen. after ἀνήκοος, as in § 16, as if a verb were used: *the sweetest sound of all you have never heard*, 187, b.

Digitized by Google

σεαυτῆς[1] ἔργον καλὸν τεθέασαι. τίς δ' ἄν σοι λεγούσῃ τι πιστεύσειε;[2] τίς δ' ἂν δεομένῃ τωὸς[8] ἐπαρκέσειεν; ἢ τίς ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσου[4] τολμήσειεν εἶναι; οἱ νέοι μὲν ὄντες τοῖς σώμασιν[5] ἀδύνατοί εἰσι, πρεσβύτεροι δὲ γενόμενοι ταῖς ψυχαῖς ἀνόητοι, ἀπόνως μὲν λιπαροὶ διὰ νεότητος τρεφόμενοι, ἐπιπόνως δὲ αὐχμηροὶ[6] διὰ γήρως περῶντες, τοῖς μὲν πεπραγμένοις αἰσχυνόμενοι, τοῖς δὲ πραττομένοις βαρυνόμενοι, τὰ μὲν ἡδέα ἐν τῇ νεότητι διαδραμόντες, τὰ δὲ χαλεπὰ εἰς τὸ γῆρας ἀποθέμενοι.

21. ἐγὼ δὲ σύνειμι μὲν θεοῖς,[7] σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς· ἔργον δὲ καλὸν οὔτε θεῖον οὔτε ἀνθρώπινον χωρὶς ἐμοῦ γίγνεται. τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις, οἷς προσήκει, ἀγαπητὴ μὲν συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις, εὐμενὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός. ἔστι δὲ τοῖς μὲν ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων[8] καὶ ποτῶν ἀπόλαυσις. ἀνέχονται γὰρ ἕως ἂν ἐπιθυμήσωσιν[9] αὐτῶν. ὕπνος δ' αὐτοῖς πάρεστιν ἡδίων ἢ τοῖς ἀμόχθοις, καὶ οὔτε ἀπολείποντες αὐτὸν ἄχθονται, οὔτε διὰ τοῦτον μεθιᾶσι τὰ δέοντα

---

[1] Subjective gen., 132.
[2] Potential. In what word is the protasis implied?
[3] P. 127, n. 3. [4] Pred. gen. [5] See p. 179, n. 9.
[6] Pred. adj. after περῶντες. [7] 236.
[8] 132. [9] 434.

Digitized by Google

πράττειν. καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις[1] χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται· καὶ ἡδέως μὲν τῶν παλαιῶν πράξεων[2] μέμνηνται, εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες, δι' ἐμὲ φίλοι μὲν θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν· ὅταν δ' ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. τοιαῦτά[3] σοι, ὦ παῖ τοκέων ἀγαθῶν, Ἡράκλεις, ἔξεστι διαπονησαμένῳ τὴν μακαριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι.

---

[1] 300. [2] 187, b. [3] Obj. of διαπονησαμένῳ.

Digitized by Google

APPENDIX

488. RULES OF EUPHONY

1. Before **M**, **π**, **β**, or **φ** becomes **μ**; **κ** or **χ** becomes **γ**, as **τρίβω, τέτρῑμμαι; ἄρχω, ἦργμαι**; **τ**, **δ**, or **θ** often becomes **σ**, as **πείθω, πέπεισμαι; ἁρπάζω, ἥρπασμαι.**

2. Before **Τ**, **Δ**, or **Θ**, **π**, **β**, **φ**, **κ**, **γ**, or **χ** is made coördinate (9); **τ**, **δ**, or **θ** becomes **σ**; as **πείθω, ἐπείσθην; ἄγω, ἦκται.**

3. With **Σ**, **π**, **β**, or **φ** becomes **ψ**; **κ**, **γ**, or **χ** becomes **ξ**; **τ**, **δ**, or **θ** is dropped; as **πέμπω, πέμψω; ἔχω, ἕξω.** The combinations **ντ**, **νδ**, **νθ**, occurring before **σ** are dropped, and the preceding vowel is lengthened; as **λῦουσα** for **λῦοντσα.**

4. When the stem of a verb ends in a consonant, the endings (**-θον**, **-θην**) **-θε**, **θαι**, etc., are used instead of (**-σθον**, **-σθην**) **-σθε**, **-σθαι**, etc. (109).

5. With consonant stems the periphrastic form of the third personal plural is used; as **ἠγμένοι εἰσί, ἠγμένοι ἦσαν** (for **ἦγνται, ἦγντο,** which would be hard to pronounce).

6. **Ν** before **π**, **β**, or **φ** becomes **μ**; before **κ**, **γ**, or **χ** it becomes **γ** nasal; before **τ**, **δ**, **θ** it is unchanged; before another liquid it is changed to that liquid; before **σ** it is

Digitized by Google

generally dropped and the preceding vowel is lengthened, **α** to **ᾱ**, **ε** to **ει**, **ο** to **ου**; as **συμπέμπω** for **συνπέμπω**, **συγκαλέω** for **συνκαλέω**, but **συντάττω**; **συλλέγω** for **συνλέγω**, **λῦουσι** for **λῦονσι**.

7. A rough mute is never doubled. Initial **ρ** is doubled when a vowel precedes it in forming a compound word, and also after the syllabic augment; **ῥίπτω**, **ἔρριπτον**.

When a smooth mute comes before a rough vowel it is itself made rough; as **καθίστημι** for **κατ(α)ίστημι**.

In reduplications an initial rough mute is made smooth; as **τέθυκα**.

TABLES OF DECLENSION AND CONJUGATION

NOUNS

489. O-Declension

SINGULAR

N.	λόγος	δοῦλος	ἄνθρωπος	στρατηγός	δῶρον
G.	λόγου	δούλου	ἀνθρώπου	στρατηγοῦ	δώρου
D.	λόγῳ	δούλῳ	ἀνθρώπῳ	στρατηγῷ	δώρῳ
A.	λόγον	δοῦλον	ἄνθρωπον	στρατηγόν	δῶρον
V.	λόγε	δοῦλε	ἄνθρωπε	στρατηγέ	δῶρον

*DUAL

(N.A.V.)	(λόγω)	(δούλω)	(ἀνθρώπω)	(στρατηγώ)	(δώρω)
(G.D.)	(λόγοιν)	(δούλοιν)	(ἀνθρώποιν)	(στρατηγοῖν)	(δώροιν)

PLURAL

N.V.	λόγοι	δοῦλοι	ἄνθρωποι	στρατηγοί	δῶρα
G.	λόγων	δούλων	ἀνθρώπων	στρατηγῶν	δώρων
D.	λόγοις	δούλοις	ἀνθρώποις	στρατηγοῖς	δώροις
A.	λόγους	δούλους	ἀνθρώπους	στρατηγούς	δῶρα

Digitized by Google

490. A-Declension, Feminine

Singular

N.V.	χώρᾱ	Μοῦσα	σκηνή	γέφῡρα
G.	χώρᾱς	Μούσης	σκηνῆς	γεφύρᾱς
D.	χώρᾳ	Μούσῃ	σκηνῇ	γεφύρᾳ
A.	χώρᾱν	Μοῦσαν	σκηνήν	γέφῡραν

*Dual

(N.A.V.)	(χώρᾱ)	(Μούσᾱ)	(σκηνᾱ́)	(γεφύρᾱ)
(G.D.)	(χώραιν)	(Μούσαιν)	(σκηναῖν)	(γεφύραιν)

Plural

N.V.	χῶραι	Μοῦσαι	σκηναί	γέφῡραι
G.	χωρῶν	Μουσῶν	σκηνῶν	γεφῡρῶν
D.	χώραις	Μούσαις	σκηναῖς	γεφύραις
A.	χώρᾱς	Μούσᾱς	σκηνᾱ́ς	γεφύρᾱς

491. A-Declension, Masculine

Singular

N.	νεᾱνίᾱς	πολίτης	πελταστής	σατράπης
G.	νεᾱνίου	πολίτου	πελταστοῦ	σατράπου
D.	νεᾱνίᾳ	πολίτῃ	πελταστῇ	σατράπῃ
A.	νεᾱνίαν	πολίτην	πελταστήν	σατράπην
V.	νεᾱνίᾱ	πολῖτα	πελταστά	σατράπη

*Dual

(N.A.V.)	(νεᾱνίᾱ)	(πολίτᾱ)	(πελταστά)	(σατράπᾱ)
(G.D.)	(νεᾱνίαιν)	(πολίταιν)	(πελτασταῖν)	(σατράπαιν)

Plural

N.V.	νεᾱνίαι	πολῖται	πελτασταί	σατράπαι
G.	νεᾱνιῶν	πολῑτῶν	πελταστῶν	σατραπῶν
D.	νεᾱνίαις	πολίταις	πελτασταῖς	σατράπαις
A.	νεᾱνίᾱς	πολίτᾱς	πελταστάς	σατράπᾱς

Digitized by Google

492. Consonant Declension — Palatals and Labials

Singular

N.	φύλαξ	διῶρυξ	φλέψ	κῆρυξ
G.	φύλακος	διώρυχος	φλεβός	κήρῡκος
D.	φύλακι	διώρυχι	φλεβί	κήρῡκι
A.	φύλακα	διώρυχα	φλέβα	κήρῡκα
V.	φύλαξ	διῶρυξ	φλέψ	κῆρυξ

*Dual

(N.A.V.)	(φύλακε)	(διώρυχε)	(φλέβε)	(κήρῡκε)
(G.D.)	(φυλάκοιν)	(διωρύχοιν)	(φλεβοῖν)	(κηρύκοιν)

Plural

N.V.	φύλακες	διώρυχες	φλέβες	κήρῡκες
G.	φυλάκων	διωρύχων	φλεβῶν	κηρύκων
D.	φύλαξι	διώρυξι	φλεψί	κήρῡξι
A.	φύλακας	διώρυχας	φλέβας	κήρῡκας

493. Linguals

Singular

N.	νύξ	ὄρνῑς	ἐλπίς	λέων	σῶμα
G.	νυκτός	ὄρνῑθος	ἐλπίδος	λέοντος	σώματος
D.	νυκτί	ὄρνῑθι	ἐλπίδι	λέοντι	σώματι
A.	νύκτα	ὄρνῑν	ἐλπίδα	λέοντα	σῶμα
V.	νύξ	ὄρνῑς	ἐλπί	λέον	σῶμα

*Dual

(N.A.V.)	(νύκτε)	(ὄρνῑθε)	(ἐλπίδε)	(λέοντε)	(σώματε)
(G.D.)	(νυκτοῖν)	(ὀρνίθοιν)	(ἐλπίδοιν)	(λεόντοιν)	(σωμάτοιν)

Plural

N.V.	νύκτες	ὄρνῑθες	ἐλπίδες	λέοντες	σώματα
G.	νυκτῶν	ὀρνίθων	ἐλπίδων	λεόντων	σωμάτων
D.	νυξί	ὄρνῑσι	ἐλπίσι	λέουσι	σώμασι
A.	νύκτας	ὄρνῑθας	ἐλπίδας	λέοντας	σώματα

Digitized by Google

494. Liquid and Syncopated Nouns

Singular

N.	ἡγεμών	ῥήτωρ	μήν	πατήρ	μήτηρ	ἀνήρ
G.	ἡγεμόνος	ῥήτορος	μηνός	πατρός	μητρός	ἀνδρός
D.	ἡγεμόνι	ῥήτορι	μηνί	πατρί	μητρί	ἀνδρί
A.	ἡγεμόνα	ῥήτορα	μῆνα	πατέρα	μητέρα	ἄνδρα
V.	ἡγεμών	ῥῆτορ	μήν	πάτερ	μῆτερ	ἄνερ

*Dual

(N.A.V.)	(ἡγεμόνε)	(ῥήτορε)	(μῆνε)	(πατέρε)	(μητέρε)	(ἄνδρε)
(G.D.)	(ἡγεμόνοιν)	(ῥητόροιν)	(μηνοῖν)	(πατέροιν)	(μητέροιν)	(ἀνδροῖν)

Plural

N.V.	ἡγεμόνες	ῥήτορες	μῆνες	πατέρες	μητέρες	ἄνδρες
G.	ἡγεμόνων	ῥητόρων	μηνῶν	πατέρων	μητέρων	ἀνδρῶν
D.	ἡγεμόσι	ῥήτορσι	μησί	πατράσι	μητράσι	ἀνδράσι
A.	ἡγεμόνας	ῥήτορας	μῆνας	πατέρας	μητέρας	ἄνδρας

495. Stems in Σ

Singular

N.	γένος	Σωκράτης		κρέας
G.	(γένεος) γένους	(Σωκράτεος) Σωκράτους		(κρέαος) κρέως
D.	(γένεϊ) γένει	(Σωκράτεϊ) Σωκράτει		(κρέαϊ) κρέαι
A.	γένος	(Σωκράτεα) Σωκράτη		κρέας
V.	γένος	Σώκρατες		κρέας

*Dual

(N.A.V.)	(γένεε, γένει)
(G.D.)	(γενέοιν, γενοῖν)

Plural

N.A.V.	(γένεα) γένη		(κρέαα) κρέᾱ
G.	γενέων, γενῶν		(κρεάων) κρεῶν
D.	γένεσι		κρέασι

Digitized by Google

496. Nouns in ΙΣ and ΕΥΣ

Singular

N.	πόλις	πῆχυς	ἄστυ	ἰχθύς	βασιλεύς
G.	πόλεως	πήχεως	ἄστεως	ἰχθύος	βασιλέως
D.	(πόλεϊ) πόλει	(πήχεϊ) πήχει	(ἄστεϊ) ἄστει	ἰχθύϊ	(βασιλέϊ) βασιλεῖ
A.	πόλιν	πῆχυν	ἄστυ	ἰχθύν	βασιλέᾱ
V.	πόλι	πῆχυ	ἄστυ	ἰχθύ	βασιλεῦ

*Dual

(N.A.V.)	(πόλεε, πόλει)	(πήχεε, πήχει)	(ἄστεε, ἄστει)	(ἰχθύε)	(βασιλέε)
(G.D.)	(πολέοιν)	(πηχέοιν)	(ἀστέοιν)	(ἰχθύοιν)	(βασιλέοιν)

Plural

N.V.	(πόλεες) πόλεις	(πήχεες) πήχεις	(ἄστεα) ἄστη	ἰχθύες	(βασιλέες) βασιλεῖς
G.	πόλεων	πήχεων	ἄστεων	ἰχθύων	βασιλέων
D.	πόλεσι	πήχεσι	ἄστεσι	ἰχθύσι	βασιλεῦσι
A.	πόλεις	πήχεις	(ἄστεα) ἄστη	ἰχθῦς	βασιλέᾱς

497. Stems in Digamma

Singular

N.	βοῦς	γραῦς	ναῦς
G.	βοός	γρᾱός	νεώς
D.	βοΐ	γρᾱΐ	νηΐ
A.	βοῦν	γραῦν	ναῦν
V.	βοῦ	γραῦ	ναῦ

*Dual

(N.A.V.)	(βόε)	(γρᾶε)	(νῆε)
(G.D.)	(βοοῖν)	(γρᾱοῖν)	(νεοῖν)

Plural

N.V.	βόες	γρᾶες	νῆες
G.	βοῶν	γρᾱῶν	νεῶν
D.	βουσί	γραυσί	ναυσί
A.	βοῦς	γραῦς	ναῦς

Digitized by Google

498. Contract Nouns in O and A

Singular

N.	(νόος)	νοῦς	(ὀστέον)	ὀστοῦν	(μνάᾱ)	μνᾶ
G.	(νόου)	νοῦ	(ὀστέου)	ὀστοῦ	(μνάᾱς)	μνᾶς
D.	(νόῳ)	νῷ	(ὀστέῳ)	ὀστῷ	(μνάᾳ)	μνᾷ
A.	(νόον)	νοῦν	(ὀστέον)	ὀστοῦν	(μνάᾶν)	μνᾶν
V.	(νόε)	νοῦ	(ὀστέον)	ὀστοῦν	(μνάᾱ)	μνᾶ

*Dual

(N.A.V.)	(νόω)	(νώ)	(ὀστέω)	(ὀστώ)	(μνάᾱ)	(μνᾶ)
(G.D.)	(νόοιν)	(νοῖν)	(ὀστέοιν)	(ὀστοῖν)	(μνάαιν)	(μναῖν)

Plural

N.	(νόοι)	νοῖ	(ὀστέα)	ὀστᾶ	(μνάαι)	μναῖ
G.	(νόων)	νῶν	(ὀστέων)	ὀστῶν	(μναῶν)	μνῶν
D.	(νόοις)	νοῖς	(ὀστέοις)	ὀστοῖς	(μνάαις)	μναῖς
A.	(νόους)	νοῦς	(ὀστέα)	ὀστᾶ	(μνάᾱς)	μνᾶς
V.	(νόοι)	νοῖ	(ὀστέα)	ὀστᾶ	(μνάαι)	μναῖ

Singular

N.	(γέᾱ)	γῆ	(Ἑρμέᾱς)	Ἑρμῆς
G.	(γέᾱς)	γῆς	(Ἑρμέου)	Ἑρμοῦ
D.	(γέᾳ)	γῇ	(Ἑρμέᾳ)	Ἑρμῇ
A.	(γέᾶν)	γῆν	(Ἑρμέᾶν)	Ἑρμῆν
V.	(γέᾱ)	γῆ	(Ἑρμέᾱ)	Ἑρμῆ

*Dual

(N.A.V.)	(Ἑρμέᾱ)	(Ἑρμᾶ)
(G.D.)	(Ἑρμέαιν)	(Ἑρμαῖν)

Plural

N.V.	(Ἑρμέαι)	Ἑρμαῖ
G.	(Ἑρμεῶν)	Ἑρμῶν
D.	(Ἑρμέαις)	Ἑρμαῖς
A.	(Ἑρμέᾱς)	Ἑρμᾶς

Digitized by Google

ADJECTIVES

499. Adjectives of the Vowel Declension

SINGULAR

	M.	F.	N.	M.	F.	N.
N.	ἀγαθός	ἀγαθή	ἀγαθόν	φίλιος	φιλίᾱ	φίλιον
G.	ἀγαθοῦ	ἀγαθῆς	ἀγαθοῦ	φιλίου	φιλίᾱς	φιλίου
D.	ἀγαθῷ	ἀγαθῇ	ἀγαθῷ	φιλίῳ	φιλίᾳ	φιλίῳ
A.	ἀγαθόν	ἀγαθήν	ἀγαθόν	φίλιον	φιλίᾱν	φίλιον
V.	ἀγαθέ	ἀγαθή	ἀγαθόν	φίλιε	φιλίᾱ	φίλιον

*DUAL

(N.A.V.)	(ἀγαθώ)	(ἀγαθά)	(ἀγαθώ)	(φιλίω)	(φιλίᾱ)	(φιλίω)
(G.D.)	(ἀγαθοῖν)	(ἀγαθαῖν)	(ἀγαθοῖν)	(φιλίοιν)	(φιλίαιν)	(φιλίοιν)

PLURAL

N.V.	ἀγαθοί	ἀγαθαί	ἀγαθά	φίλιοι	φίλιαι	φίλια
G.	ἀγαθῶν	ἀγαθῶν	ἀγαθῶν	φιλίων	φιλίων	φιλίων
D.	ἀγαθοῖς	ἀγαθαῖς	ἀγαθοῖς	φιλίοις	φιλίαις	φιλίοις
A.	ἀγαθούς	ἀγαθᾱ́ς	ἀγαθά	φιλίους	φιλίᾱς	φίλια

500. Consonant Declension

SINGULAR

	M. F.	N.	M. F.		N.
N.	εὐδαίμων	εὔδαιμον	ἀληθής		ἀληθές
G.	εὐδαίμονος		(ἀληθέος)	ἀληθοῦς	
D.	εὐδαίμονι		(ἀληθεῖ)	ἀληθεῖ	
A.	εὐδαίμονα	εὔδαιμον	(ἀληθέα)	ἀληθῆ	ἀληθές
V.	εὔδαιμον		ἀληθές		

*DUAL

(N.A.V.)	(εὐδαίμονε)	(ἀληθέε,	ἀληθεῖ)
(G.D.)	(εὐδαιμόνοιν)	(ἀληθέοιν,	ἀληθοῖν)

PLURAL

N.V.	εὐδαίμονες	εὐδαίμονα	(ἀληθέες)	ἀληθεῖς	(ἀληθέα) ἀληθῆ
G.	εὐδαιμόνων		(ἀληθέων)	ἀληθῶν	
D.	εὐδαίμοσι		ἀληθέσι		
A.	εὐδαίμονας	εὐδαίμονα	ἀληθεῖς		(ἀληθέα) ἀληθῆ

Digitized by Google

501. Consonant (ντ) and A-Declensions

SINGULAR

	M.	F.	N.	M.	F.	N.
N.	χαρίεις	χαρίεσσα	χαρίεν	ἑκών	ἑκοῦσα	ἑκόν
G.	χαρίεντος	χαριέσσης	χαρίεντος	ἑκόντος	ἑκούσης	ἑκόντος
D.	χαρίεντι	χαριέσσῃ	χαρίεντι	ἑκόντι	ἑκούσῃ	ἑκόντι
A.	χαρίεντα	χαρίεσσαν	χαρίεν	ἑκόντα	ἑκοῦσαν	ἑκόν
V.	χαρίεν	χαρίεσσα	χαρίεν	ἑκών	ἑκοῦσα	ἑκόν

*DUAL

(N.A.V.)	(χαρίεντε)	(χαριέσσᾱ)	(χαρίεντε)	(ἑκόντε)	(ἑκούσᾱ)	(ἑκόντε)
(G.D.)	(χαριέντοιν)	(χαριέσσαιν)	(χαριέντοιν)	(ἑκόντοιν)	(ἑκούσαιν)	(ἑκόντοιν)

PLURAL

N.V.	χαρίεντες	χαρίεσσαι	χαρίεντα	ἑκόντες	ἑκοῦσαι	ἑκόντα
G.	χαριέντων	χαριεσσῶν	χαριέντων	ἑκόντων	ἑκουσῶν	ἑκόντων
D.	χαρίεσι	χαριέσσαις	χαρίεσι	ἑκοῦσι	ἑκούσαις	ἑκοῦσι
A.	χαρίεντας	χαριέσσᾱς	χαρίεντα	ἑκόντας	ἑκούσᾱς	ἑκόντα

	SINGULAR.			PLURAL.		
	M.	F.	N.	M.	F.	N.
N.	πᾶς	πᾶσα	πᾶν	πάντες	πᾶσαι	πάντα
G.	παντός	πάσης	παντός	πάντων	πᾶσῶν	πάντων
D.	παντί	πάσῃ	παντί	πᾶσι	πάσαις	πᾶσι
A.	πάντα	πᾶσαν	πᾶν	πάντας	πάσᾱς	πάντα

502. Consonant (υ and αν) and A-Declensions

SINGULAR

	M.	F.	N.	M.	F.	N.
N.	γλυκύς	γλυκεῖα	γλυκύ	μέλᾱς	μέλαινα	μέλαν
G.	γλυκέος	γλυκείᾱς	γλυκέος	μέλανος	μελαίνης	μέλανος
D.	(γλυκέϊ) γλυκεῖ	γλυκείᾳ	(γλυκέϊ) γλυκεῖ	μέλανι	μελαίνῃ	μέλανι
A.	γλυκύν	γλυκεῖαν	γλυκύ	μέλανα	μέλαιναν	μέλαν
V.	γλυκύ	γλυκεῖα	γλυκύ	μέλαν	μέλαινα	μέλαν

Digitized by Google

*Dual

	M.	F.	N.	M.	F.	N.
(N.A.V.)	(γλυκέε)	(γλυκεᾱ)	(γλυκέε)	(μέλανε)	(μελαίνᾱ)	(μέλανε)
(G.D.)	(γλυκέοιν)	(γλυκείαιν)	(γλυκέοιν)	(μελάνοιν)	(μελαίναιν)	(μελάνοιν)

Plural

N.V.	(γλυκέες) γλυκεῖς	γλυκεῖαι	γλυκέα	μέλανες	μέλαιναι	μέλανα
G.	γλυκέων	γλυκειῶν	γλυκέων	μελάνων	μελαινῶν	μελάνων
D.	γλυκέσι	γλυκείαις	γλυκέσι	μέλασι	μελαίναις	μέλασι
A.	γλυκεῖς	γλυκεῖᾱς	γλυκέα	μέλανας	μελαίνᾱς	μέλανα

503. Irregular Adjectives

Singular

	M.	F.	N.	M.	F.	N.
N.	μέγας	μεγάλη	μέγα	πολύς	πολλή	πολύ
G.	μεγάλου	μεγάλης	μεγάλου	πολλοῦ	πολλῆς	πολλοῦ
D.	μεγάλῳ	μεγάλῃ	μεγάλῳ	πολλῷ	πολλῇ	πολλῷ
A.	μέγαν	μεγάλην	μέγα	πολύν	πολλήν	πολύ
V.	μεγάλε	μεγάλη	μέγα	πολύ	πολλή	πολύ

*Dual

(N.A.V.)	(μεγάλω)	(μεγάλᾱ)	(μεγάλω)
(G.D.)	(μεγάλοιν)	(μεγάλαιν)	(μεγάλοιν)

Plural

N.V.	μεγάλοι	μεγάλαι	μεγάλα	πολλοί	πολλαί	πολλά
G.	μεγάλων	μεγάλων	μεγάλων	πολλῶν	πολλῶν	πολλῶν
D.	μεγάλοις	μεγάλαις	μεγάλοις	πολλοῖς	πολλαῖς	πολλοῖς
A.	μεγάλους	μεγάλᾱς	μεγάλα	πολλούς	πολλάς	πολλά

504. Contract Adjectives

Singular

	M.		F.		N.	
N.	(ἀργύρεος)	ἀργυροῦς	(ἀργυρέᾱ)	ἀργυρᾶ	(ἀργύρεον)	ἀργυροῦν
G.	(ἀργυρέου)	ἀργυροῦ	(ἀργυρέᾱς)	ἀργυρᾶς	(ἀργυρέου)	ἀργυροῦ
D.	(ἀργυρέῳ)	ἀργυρῷ	(ἀργυρέᾳ)	ἀργυρᾷ	(ἀργυρέῳ)	ἀργυρῷ
A.	(ἀργύρεον)	ἀργυροῦν	(ἀργυρέᾱν)	ἀργυρᾶν	(ἀργύρεον)	ἀργυροῦν

Digitized by Google

*Dual

(N.A.)	(ἀργυρέω, ἀργυρώ)	(ἀργυρέᾱ, ἀργυρᾶ)	(ἀργυρέω, ἀργυρώ)
(G.D.)	(ἀργυρέοιν, ἀργυροῖν)	(ἀργυρέαιν, ἀργυραῖν)	(ἀργυρέοιν, ἀργυροῖν)

Plural

	M.	F.	N.
N.	(ἀργύρεοι) ἀργυροῖ	(ἀργύρεαι) ἀργυραῖ	(ἀργύρεα) ἀργυρᾶ
G.	(ἀργυρέων) ἀργυρῶν	(ἀργυρέων) ἀργυρῶν	(ἀργυρέων) ἀργυρῶν
D.	(ἀργυρέοις) ἀργυροῖς	(ἀργυρέαις) ἀργυραῖς	(ἀργυρέοις) ἀργυροῖς
A.	(ἀργυρέους) ἀργυροῦς	(ἀργυρέᾱς) ἀργυρᾶς	(ἀργύρεα) ἀργυρᾶ

Singular

	M.	F.	N.
N.	(χρύσεος) χρῡσοῦς	(χρῡσέᾱ) χρῡσῆ	(χρύσεον) χρῡσοῦν
G.	(χρῡσέου) χρῡσοῦ	(χρῡσέᾱς) χρῡσῆς	(χρῡσέου) χρῡσοῦ
D.	(χρῡσέῳ) χρῡσῷ	(χρῡσέᾳ) χρῡσῇ	(χρῡσέῳ) χρῡσῷ
A.	(χρύσεον) χρῡσοῦν	(χρῡσέᾱν) χρῡσῆν	(χρύσεον) χρῡσοῦν

*Dual

(N.A.)	(χρῡσέω, χρῡσώ)	(χρῡσέᾱ, χρῡσᾶ)	(χρῡσέω, χρῡσώ)
(G.D.)	(χρῡσέοιν, χρῡσοῖν)	(χρῡσέαιν, χρῡσαῖν)	(χρῡσέοιν, χρῡσοῖν)

Plural

N.	(χρύσεοι) χρῡσοῖ	(χρύσεαι) χρῡσαῖ	(χρύσεα) χρῡσᾶ
G.	(χρῡσέων) χρῡσῶν	(χρῡσέων) χρῡσῶν	(χρῡσέων) χρῡσῶν
D.	(χρῡσέοις) χρῡσοῖς	(χρῡσέαις) χρῡσαῖς	(χρῡσέοις) χρῡσοῖς
A.	(χρῡσέους) χρῡσοῦς	(χρῡσέᾱς) χρῡσᾶς	(χρύσεα) χρῡσᾶ

Singular

N.	(ἁπλόος) ἁπλοῦς	(ἁπλόη) ἁπλῆ	(ἁπλόον) ἁπλοῦν
G.	(ἁπλόου) ἁπλοῦ	(ἁπλόης) ἁπλῆς	(ἁπλόου) ἁπλοῦ
D.	(ἁπλόῳ) ἁπλῷ	(ἁπλόῃ) ἁπλῇ	(ἁπλόῳ) ἁπλῷ
A.	(ἁπλόον) ἁπλοῦν	(ἁπλόην) ἁπλῆν	(ἁπλόον) ἁπλοῦν

*Dual

(N.A.)	(ἁπλόω, ἁπλώ)	(ἁπλόᾱ, ἁπλᾶ)	(ἁπλόω, ἁπλώ)
(G.D.)	(ἁπλόοιν, ἁπλοῖν)	(ἁπλόαιν, ἁπλαῖν)	(ἁπλόοιν, ἁπλοῖν)

Plural

N.	(ἁπλόοι) ἁπλοῖ	(ἁπλόαι) ἁπλαῖ	(ἁπλόα) ἁπλᾶ
G.	(ἁπλόων) ἁπλῶν	(ἁπλόων) ἁπλῶν	(ἁπλόων) ἁπλῶν
D.	(ἁπλόοις) ἁπλοῖς	(ἁπλόαις) ἁπλαῖς	(ἁπλόοις) ἁπλοῖς
A.	(ἁπλόους) ἁπλοῦς	(ἁπλόᾱς) ἁπλᾶς	(ἁπλόα) ἁπλᾶ

Digitized by Google

505. Participles — Ω Verbs

Singular

	M.	F.	N.	M.	F.	N.
N.V.	λῡ́ων	λῡ́ουσα	λῦον	λῡ́σᾱς	λῡ́σᾶσα	λῦσαν
G.	λῡ́οντος	λῡούσης	λῡ́οντος	λῡ́σαντος	λῡσᾱ́σης	λῡ́σαντος
D.	λῡ́οντι	λῡούσῃ	λῡ́οντι	λῡ́σαντι	λῡσᾱ́σῃ	λῡ́σαντι
A.	λῡ́οντα	λῡ́ουσαν	λῦον	λῡ́σαντα	λῡ́σᾶσαν	λῦσαν

*Dual

(N.A.V.)	(λῡ́οντε	λῡούσᾱ	λῡ́οντε)	(λῡ́σαντε	λῡσᾱ́σᾱ	λῡ́σαντε)
(G.D.)	(λῡόντοιν	λῡούσαιν	λῡόντοιν)	(λῡσάντοιν	λῡσᾱ́σαιν	λῡσάντοιν)

Plural

N.V.	λῡ́οντες	λῡ́ουσαι	λῡ́οντα	λῡ́σαντες	λῡ́σᾶσαι	λῡ́σαντα
G.	λῡόντων	λῡουσῶν	λῡόντων	λῡσάντων	λῡσᾱσῶν	λῡσάντων
D.	λῡ́ουσι	λῡούσαις	λῡ́ουσι	λῡ́σᾶσι	λῡσᾱ́σαις	λῡ́σᾶσι
A.	λῡ́οντας	λῡούσᾱς	λῡ́οντα	λῡ́σαντας	λῡσᾱ́σᾱς	λῡ́σαντα

Singular

	M.	F.	N.	M.	F.	N.
N.V.	λελυκώς	λελυκυῖα	λελυκός	λυθείς	λυθεῖσα	λυθέν
G.	λελυκότος	λελυκυίᾱς	λελυκότος	λυθέντος	λυθείσης	λυθέντος
D.	λελυκότι	λελυκυίᾳ	λελυκότι	λυθέντι	λυθείσῃ	λυθέντι
A.	λελυκότα	λελυκυῖαν	λελυκός	λυθέντα	λυθεῖσαν	λυθέν

*Dual

(N.A.V.)	(λελυκότε	λελυκυίᾱ	λελυκότε)	(λυθέντε	λυθείσᾱ	λυθέντε)
(G.D.)	(λελυκότοιν	λελυκυίαιν	λελυκότοιν)	(λυθέντοιν	λυθείσαιν	λυθέντοιν)

Plural

N.V.	λελυκότες	λελυκυῖαι	λελυκότα	λυθέντες	λυθεῖσαι	λυθέντα
G.	λελυκότων	λελυκυιῶν	λελυκότων	λυθέντων	λυθεισῶν	λυθέντων
D.	λελυκόσι	λελυκυίαις	λελυκόσι	λυθεῖσι	λυθείσαις	λυθεῖσι
A.	λελυκότας	λελυκυίᾱς	λελυκότα	λυθέντας	λυθείσᾱς	λυθέντα

Digitized by Google

SINGULAR

	M.	F.	N.	M.	F.	N.
N.V.	τῑμῶν	τῑμῶσα	τῑμῶν	ποιῶν	ποιοῦσα	ποιοῦν
G.	τῑμῶντος	τῑμώσης	τῑμῶντος	ποιοῦντος	ποιούσης	ποιοῦντος
D.	τῑμῶντι	τῑμώσῃ	τῑμῶντι	ποιοῦντι	ποιούσῃ	ποιοῦντι
A.	τῑμῶντα	τῑμῶσαν	τῑμῶν	ποιοῦντα	ποιοῦσαν	ποιοῦν

*DUAL

(N.A.V)	(τῑμῶντε	τῑμώσᾱ	τῑμῶντε)	(ποιοῦντε	ποιούσᾱ	ποιοῦντε)
(G.D.)	(τῑμώντοιν	τῑμώσαιν	τῑμώντοιν)	(ποιούντοιν	ποιούσαιν	ποιούντοιν)

PLURAL

N.V.	τῑμῶντες	τῑμῶσαι	τῑμῶντα	ποιοῦντες	ποιοῦσαι	ποιοῦντα
G.	τῑμώντων	τῑμωσῶν	τῑμώντων	ποιούντων	ποιουσῶν	ποιούντων
D.	τῑμῶσι	τῑμώσαις	τῑμῶσι	ποιοῦσι	ποιούσαις	ποιοῦσι
A.	τῑμῶντας	τῑμώσᾱς	τῑμῶντα	ποιοῦντας	ποιούσᾱς	ποιοῦντα

506. Participles — MI Verbs

ὤν	οὖσα	ὄν	διδούς	διδοῦσα	διδόν
ὄντος	οὔσης	ὄντος	διδόντος	διδούσης	διδόντος
etc., like λῡ́ων.			etc., like λῡ́ων.		

SINGULAR

	M.	F.	N.	M.	F.	N.
N.V.	ἱστᾰ́ς	ἱστᾶσα	ἱστᾰ́ν	δεικνῡ́ς	δεικνῦσα	δεικνῡ́ν
G.	ἱστᾰ́ντος	ἱστᾰ́σης	ἱστᾰ́ντος	δεικνῡ́ντος	δεικνῡ́σης	δεικνῡ́ντος
D.	ἱστᾰ́ντι	ἱστᾰ́σῃ	ἱστᾰ́ντι	δεικνῡ́ντι	δεικνῡ́σῃ	δεικνῡ́ντι
A.	ἱστᾰ́ντα	ἱστᾶσαν	ἱστᾰ́ν	δεικνῡ́ντα	δεικνῦσαν	δεικνῡ́ν

*DUAL

(N.A.V.)	(ἱστᾰ́ντε	ἱστᾰ́σᾱ	ἱστᾰ́ντε)	(δεικνῡ́ντε	δεικνῡ́σᾱ	δεικνῡ́ντε)
(G.D.)	(ἱστᾰ́ντοιν	ἱστᾰ́σαιν	ἱστᾰ́ντοιν)	(δεικνῡ́ντοιν	δεικνῡ́σαιν	δεικνῡ́ντοιν)

PLURAL

N.V.	ἱστᾰ́ντες	ἱστᾶσαι	ἱστᾰ́ντα	δεικνῡ́ντες	δεικνῦσαι	δεικνῡ́ντα
G.	ἱστᾰ́ντων	ἱστᾰ́σῶν	ἱστᾰ́ντων	δεικνῡ́ντων	δεικνῡ́σῶν	δεικνῡ́ντων
D.	ἱστᾶσι	ἱστᾰ́σαις	ἱστᾶσι	δεικνῦσι	δεικνῡ́σαις	δεικνῦσι
A.	ἱστᾰ́ντας	ἱστᾰ́σᾱς	ἱστᾰ́ντα	δεικνῡ́ντας	δεικνῡ́σᾱς	δεικνῡ́ντα

Digitized by Google

507. Table of Numerals

	Cardinal	*Ordinal*	*Adverb*
1	εἷς, μία, ἕν, *one*	πρῶτος, η, ον, *first*	ἅπαξ, *once*
2	δύο, *two*	δεύτερος, ᾱ, ον, *second*	δίς, *twice*
3	τρεῖς, τρία	τρίτος, η, ον	τρίς
4	τέτταρες, τέτταρα	τέταρτος	τετράκις
5	πέντε	πέμπτος	πεντάκις
6	ἕξ	ἕκτος	ἑξάκις
7	ἑπτά	ἕβδομος	ἑπτάκις
8	ὀκτώ	ὄγδοος	ὀκτάκις
9	ἐννέα	ἔνατος	ἐνάκις
10	δέκα	δέκατος	δεκάκις
11	ἕνδεκα	ἑνδέκατος	ἑνδεκάκις
12	δώδεκα	δωδέκατος	δωδεκάκις
13	τρεῖς καὶ δέκα	τρίτος καὶ δέκατος	
14	τέτταρες καὶ δέκα	τέταρτος καὶ δέκατος	
15	πεντεκαίδεκα	πέμπτος καὶ δέκατος	
16	ἑκκαίδεκα	ἕκτος καὶ δέκατος	
17	ἑπτακαίδεκα	ἕβδομος καὶ δέκατος	
18	ὀκτωκαίδεκα	ὄγδοος καὶ δέκατος	
19	ἐννεακαίδεκα	ἔνατος καὶ δέκατος	
20	εἴκοσι	εἰκοστός	εἰκοσάκις
21	εἷς καὶ εἴκοσι *or* εἴκοσιν εἷς	πρῶτος καὶ εἰκοστός	
30	τριᾰ́κοντα	τριᾱκοστός	τριᾱκοντάκις
40	τετταρᾰ́κοντα	τετταρᾰκοστός	τετταρᾰκοντάκις
50	πεντήκοντα	πεντηκοστός	πεντηκοντάκις
60	ἑξήκοντα	ἑξηκοστός	ἑξηκοντάκις
70	ἑβδομήκοντα	ἑβδομηκοστός	ἑβδομηκοντάκις
80	ὀγδοήκοντα	ὀγδοηκοστός	ὀγδοηκοντάκις
90	ἐνενήκοντα	ἐνενηκοστός	ἐνενηκοντάκις
100	ἑκατόν	ἑκατοστός	ἑκατοντάκις
200	διᾱκόσιοι, αι, α	διᾱκοσιοστός	διᾱκοσιάκις
300	τριᾱκόσιοι, αι, α	τριᾱκοσιοστός	
400	τετρᾰκόσιοι, αι, α	τετρακοσιοστός	
500	πεντᾰκόσιοι, αι, α	πεντακοσιοστός	
600	ἑξᾰκόσιοι, αι, α	ἑξακοσιοστός	
700	ἑπτᾰκόσιοι, αι, α	ἑπτακοσιοστός	

Digitized by Google

	Cardinal	*Ordinal*	*Adverb*
800	ὀκτᾰκόσιοι, αι, α	ὀκτακοσιοστός	
900	ἐνᾰκόσιοι, αι, α	ἐνακοσιοστός	
1000	χίλιοι, αι, α	χῑλιοστός	χῑλιάκις
2000	δισχίλιοι, αι, α	δισχῑλιοστός	
3000	τρισχίλιοι, αι, α	τρισχῑλιοστός	
10000	μύριοι, αι, α	μῡριοστός	μῡριάκις

508. Declension of Numerals

N.	εἷς	μία	ἕν		
G.	ἑνός	μιᾶς	ἑνός	N.A.	δύο
D.	ἑνί	μιᾷ	ἑνί	G.D.	δυοῖν
A.	ἕνα	μίαν	ἕν		

N.	τρεῖς	τρία	τέτταρες	τέτταρα
G.	τριῶν		τεττάρων	
D.	τρισί		τέτταρσι	
A.	τρεῖς	τρία	τέτταρας	τέτταρα

509. THE ARTICLE

	Singular			*Dual			Plural		
	M.	F.	N.	M.	F.	N.	M.	F.	N.
N.	ὁ	ἡ	τό	(N.A.) (τώ	τώ	τώ)	N. οἱ	αἱ	τά
G.	τοῦ	τῆς	τοῦ	(G.D.) (τοῖν	τοῖν	τοῖν)	G. τῶν	τῶν	τῶν
D.	τῷ	τῇ	τῷ				D. τοῖς	ταῖς	τοῖς
A.	τόν	τήν	τό				A. τούς	τᾱ́ς	τά

PRONOUNS

510. Personal and Intensive Pronouns

				Singular		
N.	ἐγώ	σύ	—	αὐτός	αὐτή	αὐτό
G.	ἐμοῦ, μοῦ	σοῦ	οὗ	αὐτοῦ	αὐτῆς	αὐτοῦ
D.	ἐμοί, μοί	σοί	οἱ	αὐτῷ	αὐτῇ	αὐτῷ
A.	ἐμέ, μέ	σέ	ἕ	αὐτόν	αὐτήν	αὐτό

			*Dual		
(N.A.)	(νώ)	(σφώ)	(αὐτώ	αὐτᾱ́	αὐτώ)
(G.D.)	(νῷν)	(σφῷν)	(αὐτοῖν	αὐταῖν	αὐτοῖν)

Digitized by Google

	PLURAL					
N.	ἡμεῖς	ὑμεῖς	σφεῖς	αὐτοί	αὐταί	αὐτά
G.	ἡμῶν	ὑμῶν	σφῶν	αὐτῶν	αὐτῶν	αὐτῶν
D.	ἡμῖν	ὑμῖν	σφίσι	αὐτοῖς	αὐταῖς	αὐτοῖς
A.	ἡμᾶς	ὑμᾶς	σφᾶς	αὐτούς	αὐτᾶς	αὐτά

511. Reflexive Pronouns

	SINGULAR		PLURAL	
	M.	F.	M.	F.
G.	ἐμαυτοῦ	ἐμαυτῆς	ἡμῶν αὐτῶν	ἡμῶν αὐτῶν
D.	ἐμαυτῷ	ἐμαυτῇ	ἡμῖν αὐτοῖς	ἡμῖν αὐταῖς
A.	ἐμαυτόν	ἐμαυτήν	ἡμᾶς αὐτούς	ἡμᾶς αὐτάς

	M.	F.	M.	F.
G.	σεαυτοῦ or σαυτοῦ	σεαυτῆς or σαυτῆς	ὑμῶν αὐτῶν	ὑμῶν αὐτῶν
D.	σεαυτῷ or σαυτῷ	σεαυτῇ or σαυτῇ	ὑμῖν αὐτοῖς	ὑμῖν αὐταῖς
A.	σεαυτόν or σαυτόν	σεαυτήν or σαυτήν	ὑμᾶς αὐτούς	ὑμᾶς αὐτάς

	M.	F.	N.	M.	F.	N.
G.	ἑαυτοῦ	ἑαυτῆς	ἑαυτοῦ	ἑαυτῶν	ἑαυτῶν	ἑαυτῶν
D.	ἑαυτῷ	ἑαυτῇ	ἑαυτῷ	ἑαυτοῖς	ἑαυταῖς	ἑαυτοῖς
A.	ἑαυτόν	ἑαυτήν	ἑαυτό	ἑαυτούς	ἑαυτάς	ἑαυτά

contracted into

G.	αὑτοῦ	αὑτῆς	αὑτοῦ	αὑτῶν	αὑτῶν	αὑτῶν
D.	αὑτῷ	αὑτῇ	αὑτῷ	αὑτοῖς	αὑταῖς	αὑτοῖς
A.	αὑτόν	αὑτήν	αὑτό	αὑτούς	αὑτάς	αὑτά

512. Reciprocal Pronoun

	*DUAL			PLURAL		
G.	(ἀλλήλοιν	ἀλλήλαιν	ἀλλήλοιν)	ἀλλήλων	ἀλλήλων	ἀλλήλων
D.	(ἀλλήλοιν	ἀλλήλαιν	ἀλλήλοιν)	ἀλλήλοις	ἀλλήλαις	ἀλλήλοις
A.	(ἀλλήλω	ἀλλήλᾱ	ἀλλήλω)	ἀλλήλους	ἀλλήλᾱς	ἄλληλα

Digitized by Google

513. Demonstrative Pronouns

	Singular			*Dual			Plural		
	M.	F.	N.	M.	F.	N.	M.	F.	N.
	οὗτος	αὕτη	τοῦτο	(τούτω	τούτω	τούτω)	οὗτοι	αὗται	ταῦτα
	τούτου	ταύτης	τούτου	(τούτοιν	τούτοιν	τούτοιν)	τούτων	τούτων	τούτων
	τούτῳ	ταύτῃ	τούτῳ				τούτοις	ταύταις	τούτοις
	τοῦτον	ταύτην	τοῦτο				τούτους	ταύτᾱς	ταῦτα

	Singular					
N.	ὅδε	ἥδε	τόδε	ἐκεῖνος	ἐκείνη	ἐκεῖνο
G.	τοῦδε	τῆσδε	τοῦδε	ἐκείνου	ἐκείνης	ἐκείνου
D.	τῷδε	τῇδε	τῷδε	ἐκείνῳ	ἐκείνῃ	ἐκείνῳ
A.	τόνδε	τήνδε	τόδε	ἐκεῖνον	ἐκείνην	ἐκεῖνο
	*Dual					
(N.A.)	(τώδε	τώδε	τώδε)	(ἐκείνω	ἐκείνω	ἐκείνω)
(G.D.)	(τοῖνδε	τοῖνδε	τοῖνδε)	(ἐκείνοιν	ἐκείνοιν	ἐκείνοιν)
	Plural					
N.	οἵδε	αἵδε	τάδε	ἐκεῖνοι	ἐκεῖναι	ἐκεῖνα
G.	τῶνδε	τῶνδε	τῶνδε	ἐκείνων	ἐκείνων	ἐκείνων
D.	τοῖσδε	ταῖσδε	τοῖσδε	ἐκείνοις	ἐκείναις	ἐκείνοις
A.	τούσδε	τᾶσδε	τάδε	ἐκείνους	ἐκείνᾱς	ἐκεῖνα

514. Interrogative and Indefinite Pronouns

	Singular			
N.	τίς	τί	τις	τι
G.	τίνος, τοῦ		τινός, του	
D.	τίνι, τῷ		τινί, τῳ	
A.	τίνα	τί	τινά	τι
	*Dual			
(N.A.)	(τίνε)		(τινέ)	
(G.D.)	(τίνοιν)		(τινοῖν)	
	Plural			
N.	τίνες	τίνα	τινές	τινά
G.	τίνων		τινῶν	
D.	τίσι		τισί	
A.	τίνας	τίνα	τινάς	τινά

Digitized by Google

515. Relative Pronouns

	Singular			*Dual			Plural		
N.	ὅς	ἥ	ὅ				N.	οἵ	αἵ	ἅ
G.	οὗ	ἧς	οὗ	(N.A.)	(ὥ | ὥ | ὥ)	G.	ὧν	ὧν	ὧν
D.	ᾧ	ᾗ	ᾧ	(G.D.)	(οἷν | οἷν | οἷν)	D.	οἷς	αἷς	οἷς
A.	ὅν	ἥν	ὅ					A.	οὕς	ἅς	ἅ

	Singular		
N.	ὅστις	ἥτις	ὅ τι
G.	οὑτινος, ὅτου	ἧστινος	οὑτινος, ὅτου
D.	ᾧτινι, ὅτῳ	ᾗτινι	ᾧτινι, ὅτῳ
A.	ὅντινα	ἥντινα	ὅ τι
	*Dual		
(N.A.)	(ὥτινε)	(ὥτινε)	(ὥτινε)
(G.D.)	(οἵντινοιν)	(οἵντινοιν)	(οἵντινοιν)
	Plural		
N.	οἵτινες	αἵτινες	ἅτινα, ἄττα
G.	ὧντινων, ὅτων	ὧντινων	ὧντινων, ὅτων
D.	οἷστισι, ὅτοις	αἷστισι	οἷστισι, ὅτοις
A.	οὕστινας	ἅστινας	ἅτινα, ἄττα

VERBS

516. Active Voice of λύω

Indicative

	Present, *I loose, am loosing.*	Imperfect, *I loosed, was loosing, used to loose.*	Future, *I shall loose.*	Aorist, *I loosed.*	Perfect, *I have loosed.*	Pluperfect *I had loosed.*
S. 1.	λύω	ἔλῡον	λύσω	ἔλῡσα	λέλυκα	ἐλελύκη
2.	λύεις	ἔλῡες	λύσεις	ἔλῡσας	λέλυκας	ἐλελύκης
3.	λύει	ἔλῡε	λύσει	ἔλῡσε	λέλυκε	ἐλελύκει
*D. 2.	(λύετον)	(ἐλύετον)	(λύσετον)	(ἐλύσατον)	(λελύκατον)	(ἐλελύκετον)
3.	(λύετον)	(ἐλῡέτην)	(λύσετον)	(ἐλῡσάτην)	(λελύκατον)	(ἐλελυκέτην)
P. 1.	λύομεν	ἐλύομεν	λύσομεν	ἐλύσαμεν	λελύκαμεν	ἐλελύκεμεν
2.	λύετε	ἐλύετε	λύσετε	ἐλύσατε	λελύκατε	ἐλελύκετε
3.	λύουσι	ἔλῡον	λύσουσι	ἔλῡσαν	λελύκᾱσι	ἐλελύκεσαν

Digitized by Google

Subjunctive

	PRESENT	FUTURE	AORIST	PERFECT
S. 1.	λύω		λύσω	λελύκω
2.	λύῃς		λύσῃς	λελύκῃς
3.	λύῃ		λύσῃ	λελύκῃ
*D. 2.	(λύητον)		(λύσητον)	(λελύκητον)
3.	(λύητον)		(λύσητον)	(λελύκητον)
P. 1.	λύωμεν		λύσωμεν	λελύκωμεν
2.	λύητε		λύσητε	λελύκητε
3.	λύωσι		λύσωσι	λελύκωσι

Optative

S. 1.	λύοιμι	λύσοιμι	λύσαιμι	λελύκοιμι
2.	λύοις	λύσοις	λύσαις, λύσειας	λελύκοις
3.	λύοι	λύσοι	λύσαι,λύσειε	λελύκοι
*D. 2.	(λύοιτον)	(λύσοιτον)	(λύσαιτον)	(λελύκοιτον)
3.	(λῡοίτην)	(λῡσοίτην)	(λῡσαίτην)	(λελυκοίτην)
P. 1.	λύοιμεν	λύσοιμεν	λύσαιμεν	λελύκοιμεν
2.	λύοιτε	λύσοιτε	λύσαιτε	λελύκοιτε
3.	λύοιεν	λύσοιεν	λύσαιεν, λύσειαν	λελύκοιεν

Imperative

S. 2.	λῦε, *loose thou*	λῦσον	[λέλυκε
3.	λῡέτω, *let him loose*	λῡσάτω	λελυκέτω
*D. 2.	(λύετον)	(λύσατον)	(λελύκετον)
3.	(λῡέτων)	(λῡσάτων)	(λελυκέτων)
P. 2.	λύετε, *loose ye*	λύσατε	λελύκετε
3.	λῡόντων, *let them loose*	λῡσάντων	λελυκέτωσαν]

Infinitive

to loose, etc.

λύειν	λύσειν	λῦσαι	λελυκέναι

Participle

loosing, etc.

λῦων	λύσων	λύσᾱς	λελυκώς

Digitized by Google

517. Middle Voice of λῡ́ω

Indicative

	PRESENT, *I ransom, am ransoming.*	IMPERFECT, *I ransomed, was ransoming.*	FUTURE, *I shall ransom.*	AORIST, *I ransomed.*	PERFECT, *I have ransomed.*	PLUPERFECT *I had ransomed.*
S. 1.	λῡ́ομαι	ἐλῡόμην	λῡ́σομαι	ἐλῡσάμην	λέλυμαι	ἐλελύμην
2.	λῡ́ει, λῡ́ῃ	ἐλῡ́ου	λῡ́σει, λῡ́σῃ	ἐλῡ́σω	λέλυσαι	ἐλέλυσο
3.	λῡ́εται	ἐλῡ́ετο	λῡ́σεται	ἐλῡ́σατο	λέλυται	ἐλέλυτο
*D. 2.	(λῡ́εσθον)	(ἐλῡ́εσθον)	(λῡ́σεσθον)	(ἐλῡ́σασθον)	(λέλυσθον)	(ἐλέλυσθον)
3.	(λῡ́εσθον)	(ἐλῡέσθην)	(λῡ́σεσθον)	(ἐλῡσάσθην)	(λέλυσθον)	(ἐλελύσθην)
P. 1.	λῡόμεθα	ἐλῡόμεθα	λῡσόμεθα	ἐλῡσάμεθα	λελύμεθα	ἐλελύμεθα
2.	λῡ́εσθε	ἐλῡ́εσθε	λῡ́σεσθε	ἐλῡ́σασθε	λέλυσθε	ἐλέλυσθε
3.	λῡ́ονται	ἐλῡ́οντο	λῡ́σονται	ἐλῡ́σαντο	λέλυνται	ἐλέλυντο

Subjunctive

S. 1.	λῡ́ωμαι		λῡ́σωμαι	λελυμένος ὦ
2.	λῡ́ῃ		λῡ́σῃ	λελυμένος ᾖς
3.	λῡ́ηται		λῡ́σηται	λελυμένος ᾖ
*D. 2.	(λῡ́ησθον)		(λῡ́σησθον)	(λελυμένω ἦτον)
3.	(λῡ́ησθον)		(λῡ́σησθον)	(λελυμένω ἦτον)
P. 1.	λῡώμεθα		λῡσώμεθα	λελυμένοι ὦμεν
2.	λῡ́ησθε		λῡ́σησθε	λελυμένοι ἦτε
3.	λῡ́ωνται		λῡ́σωνται	λελυμένοι ὦσι

Optative

S. 1.	λῡοίμην	λῡσοίμην	λῡσαίμην	λελυμένος εἴην	
2.	λῡ́οιο	λῡ́σοιο	λῡ́σαιο	λελυμένος εἴης	
3.	λῡ́οιτο	λῡ́σοιτο	λῡ́σαιτο	λελυμένος εἴη	
*D. 2.	(λῡ́οισθον)	(λῡ́σοισθον)	(λῡ́σαισθον)	(λελυμένω εἴητον	or εἶτον)
3.	(λῡοίσθην)	(λῡσοίσθην)	(λῡσαίσθην)	(λελυμένω εἰήτην	or εἴτην)
P. 1.	λῡοίμεθα	λῡσοίμεθα	λῡσαίμεθα	λελυμένοι εἴημεν	or εἶμεν
2.	λῡ́οισθε	λῡ́σοισθε	λῡ́σαισθε	λελυμένοι εἴητε	or εἶτε
3.	λῡ́οιντο	λῡ́σοιντο	λῡ́σαιντο	λελυμένοι εἴησαν	or εἶεν

Digitized by Google

IMPERATIVE

	PRESENT	FUTURE	AORIST	PERFECT
S. 2.	λῦου, *ransom*		λῦσαι	λέλυσο
3.	λῡέσθω, *let him ransom*		λῡσάσθω	λελύσθω
*D. 2.	(λῦεσθον)		(λύσασθον)	(λέλυσθον)
3.	(λῡέσθων)		(λῡσάσθων)	(λελύσθων)
P. 2.	λῦεσθε		λύσασθε	λέλυσθε
3.	λῡέσθων		λῡσάσθων	λελύσθων

INFINITIVE

λῦεσθαι	λύσεσθαι	λύσασθαι	λελύσθαι

PARTICIPLE

λῡόμενος	λῡσόμενος	λῡσάμενος	λελυμένος

518. Passive Voice of λῦω

Present, Imperfect, Perfect, Pluperfect, the same as the Middle, 517.

INDICATIVE

	FUTURE PERFECT	AORIST	FUTURE
S. 1.	λελύσομαι	ἐλύθην	λυθήσομαι
2.	λελύσει, λελύσῃ	ἐλύθης	λυθήσει, λυθήσῃ
3.	λελύσεται	ἐλύθη	λυθήσεται
*D. 2.	(λελύσεσθον)	(ἐλύθητον)	(λυθήσεσθον)
3.	(λελύσεσθον)	(ἐλυθήτην)	(λυθήσεσθον)
P. 1.	λελῡσόμεθα	ἐλύθημεν	λυθησόμεθα
2.	λελύσεσθε	ἐλύθητε	λυθήσεσθε
3.	λελύσονται	ἐλύθησαν	λυθήσονται

SUBJUNCTIVE

S. 1.	λυθῶ
2.	λυθῇς
3.	λυθῇ
*D. 2.	(λυθῆτον)
3.	(λυθῆτον)
P. 1.	λυθῶμεν
2.	λυθῆτε
3.	λυθῶσι

Digitized by Google

OPTATIVE

	FUTURE PERFECT	AORIST	FUTURE
S. 1.	λελῡσοίμην	λυθείην	λυθησοίμην
2.	λελῡσοιο	λυθείης	λυθήσοιο
3.	λελῡσοιτο	λυθείη	λυθήσοιτο
*D. 2.	(λελῡσοισθον)	(λυθείητον, λυθεῖτον)	(λυθήσοισθον)
3.	(λελῡσοίσθην)	(λυθειήτην, λυθείτην)	(λυθησοίσθην)
P. 1.	λελῡσοίμεθα	λυθείημεν, λυθεῖμεν	λυθησοίμεθα
2.	λελῡσοισθε	λυθείητε, λυθεῖτε	λυθήσοισθε
3.	λελῡσοιντο	λυθείησαν, λυθεῖεν	λυθήσοιντο

IMPERATIVE

S. 2.	λῡθητι
3.	λυθήτω
*D. 2.	(λῡθητον)
3.	(λυθήτων)
P. 2.	λῡθητε
3.	λυθέντων

INFINITIVE

λελῡσεσθαι	λυθῆναι	λυθήσεσθαι

PARTICIPLE

λελῡσόμενος	λυθείς	λυθησόμενος

519. Second Aorist (Active and Middle) and Second Perfect and Pluperfect of λείπω

	2 AOR. ACT.	2 AOR. MID.	2 PERFECT.	2 PLUPERFECT.
S. 1.	ἔλιπον	ἐλιπόμην	λέλοιπα	ἐλελοίπη
2.	ἔλιπες	ἐλίπου	λέλοιπας	ἐλελοίπης
3.	ἔλιπε	ἐλίπετο	λέλοιπε	ἐλελοίπει
*D. 2.	(ἐλίπετον)	(ἐλίπεσθον)	(λελοίπατον)	(ἐλελοίπετον)
3.	(ἐλιπέτην)	(ἐλιπέσθην)	(λελοίπατον)	(ἐλελοιπέτην)
P. 1.	ἐλίπομεν	ἐλιπόμεθα	λελοίπαμεν	ἐλελοίπεμεν
2.	ἐλίπετε	ἐλίπεσθε	λελοίπατε	ἐλελοίπετε
3.	ἔλιπον	ἐλίποντο	λελοίπᾶσι	ἐλελοίπεσαν

Digitized by Google

Subjunctive

	2 aor. act.	2 aor. mid.	2 perfect
S. 1.	λίπω	λίπωμαι	λελοίπω
2.	λίπῃς	λίπῃ	λελοίπῃς
3.	λίπῃ	λίπηται	λελοίπῃ
*D. 2.	(λίπητον)	(λίπησθον)	(λελοίπητον)
3.	(λίπητον)	(λίπησθον)	(λελοίπητον)
P. 1.	λίπωμεν	λιπώμεθα	λελοίπωμεν
2.	λίπητε	λίπησθε	λελοίπητε
3.	λίπωσι	λίπωνται	λελοίπωσι

Optative

S. 1.	λίποιμι	λιποίμην	λελοίποιμι
2.	λίποις	λίποιο	λελοίποις
3.	λίποι	λίποιτο	λελοίποι
*D. 2.	(λίποιτον)	(λίποισθον)	(λελοίποιτον)
3.	(λιποίτην)	(λιποίσθην)	(λελοιποίτην)
P. 1.	λίποιμεν	λιποίμεθα	λελοίποιμεν
2.	λίποιτε	λίποισθε	λελοίποιτε
3.	λίποιεν	λίποιντο	λελοίποιεν

Imperative

S. 2.	λίπε	λιποῦ	λέλοιπε
3.	λιπέτω	λιπέσθω	λελοιπέτω
*D. 2.	(λίπετον)	(λίπεσθον)	(λελοίπετον)
3.	(λιπέτων)	(λιπέσθων)	(λελοιπέτων)
P. 2.	λίπετε	λίπεσθε	λελοίπετε
3.	λιπόντων	λιπέσθων	λελοιπέτωσαν

Infinitive

λιπεῖν	λιπέσθαι	λελοιπέναι

Participle

λιπών, οῦσα, όν	λιπόμενος, η, ον	λελοιπώς, υῖα, ός

Digitized by Google

520. Liquid Forms of φαίνω — Second Aorist and Future Passive

Prin. Parts, **φαίνω, φανῶ, ἔφηνα, πέφαγκα, πέφασμαι, ἐφάνην** (2d aor.)

INDICATIVE

	FUTURE ACTIVE	FUT. MID.	1 AOR. ACT.	1 AOR. MID.
S. 1.	φανῶ	φανοῦμαι	ἔφηνα	ἐφηνάμην
2.	φανεῖς	φανεῖ, φανῇ	ἔφηνας	ἐφήνω
3.	φανεῖ	φανεῖται	ἔφηνε	ἐφήνατο
*D. 2.	(φανεῖτον)	(φανεῖσθον)	(ἐφήνατον)	(ἐφήνασθον)
3.	(φανεῖτον)	(φανεῖσθον)	(ἐφηνάτην)	(ἐφηνάσθην)
P. 1.	φανοῦμεν	φανούμεθα	ἐφήναμεν	ἐφηνάμεθα
2.	φανεῖτε	φανεῖσθε	ἐφήνατε	ἐφήνασθε
3.	φανοῦσι	φανοῦνται	ἔφηναν	ἐφήναντο

SUBJUNCTIVE

S. 1.	φήνω	φήνωμαι
2.	φήνῃς	φήνῃ
3.	φήνῃ	φήνηται
*D. 2.	(φήνητον)	(φήνησθον)
3.	(φήνητον)	(φήνησθον)
P. 1.	φήνωμεν	φηνώμεθα
2.	φήνητε	φήνησθε
3.	φήνωσι	φήνωνται

OPTATIVE

S. 1.	φανοίην or φανοῖμι	φανοίμην	φήναιμι	φηναίμην
2.	φανοίης or φανοῖς	φανοῖο	φήναις or φήνειας	φήναιο
3.	φανοίη or φανοῖ	φανοῖτο	φήναι or φήνειε	φήναιτο
*D. 2.	(φανοῖτον)	(φανοῖσθον)	(φήναιτον)	(φήναισθον)
3.	(φανοίτην)	(φανοίσθην)	(φηναίτην)	(φηναίσθην)
P. 1.	φανοῖμεν	φανοίμεθα	φήναιμεν	φηναίμεθα
2.	φανοῖτε	φανοῖσθε	φήναιτε	φήναισθε
3.	φανοῖεν	φανοῖντο	φήναιεν or φήνειαν	φήναιντο

Digitized by Google

IMPERATIVE

FUT. ACT.	FUT. MID		1 AOR. ACT.	1 AOR. MID.
		S. 2.	φῆνον	φῆναι
		3.	φηνάτω	φηνάσθω
		*D. 2.	(φήνατον)	(φήνασθον)
		3.	(φηνάτων)	(φηνάσθων)
		P. 2.	φήνατε	φήνασθε
		3.	φηνάντων	φηνάσθων

INFINITIVE

φανεῖν	φανεῖσθαι	φῆναι	φήνασθαι

PARTICIPLE

φανῶν, οῦσα, οῦν	φανούμενος, η, ον	φήνᾱς, ᾶσα, αν	φηνάμενος, η, ον

SECOND AORIST PASSIVE

	INDICATIVE	SUBJUNCTIVE	OPTATIVE	IMPERATIVE
S. 1.	ἐφάνην	φανῶ	φανείην	
2.	ἐφάνης	φανῇς	φανείης	φάνηθι
3.	ἐφάνη	φανῇ	φανείη	φανήτω
*D. 2.	(ἐφάνητον)	(φανῆτον)	(φανείητον or φανεῖτον)	(φάνητον)
3.	(ἐφανήτην)	(φανῆτον)	(φανειήτην or φανείτην)	(φανήτων)
P. 1.	ἐφάνημεν	φανῶμεν	φανείημεν or φανεῖμεν	
2.	ἐφάνητε	φανῆτε	φανείητε or φανεῖτε	φάνητε
3.	ἐφάνησαν	φανῶσι	φανείησαν or φανεῖεν	φανέντων

INFINITIVE	PARTICIPLE
φανῆναι	φανείς, φανεῖσα, φανέν

SECOND FUTURE PASSIVE

	INDICATIVE	OPTATIVE	INFINITIVE	PARTICIPLE
S. 1.	φανήσομαι	φανησοίμην	φανήσεσθαι	φανησόμενος, η, ον
2.	φανήσει, φανήσῃ	φανήσοιο		
3.	φανήσεται	φανήσοιτο		
*D. 2.	(φανήσεσθον)	(φανήσοισθον)		
3.	(φανήσεσθον)	(φανησοίσθην)		
P. 1.	φανησόμεθα	φανησοίμεθα		
2.	φανήσεσθε	φανήσοισθε		
3.	φανήσονται	φανήσοιντο		

Digitized by Google

521. Perfect and Pluperfect Passive of Verbs with Consonant Stems. — *See* 488

	ἄγω		πέμπω		ἀθροίζω	
	PERF.	PLUP.	PERF.	PLUP.	PERF.	PLUP.
S. 1.	ἦγμαι	ἤγμην	πέπεμμαι	ἐπεπέμμην	ἤθροισμαι	ἠθροίσμην
2.	ἦξαι	ἦξο	πέπεμψαι	ἐπέπεμψο	ἤθροισαι	ἤθροισο
3.	ἦκται	ἦκτο	πέπεμπται	ἐπέπεμπτο	ἤθροισται	ἤθροιστο
*D. 2.	(ἦχθον)	(ἤχθον)	(πέπεμφθον)	(ἐπέπεμφθον)	(ἤθροισθον)	(ἠθροίσθον)
3.	(ἦχθον)	(ἤχθην)	(πέπεμφθον)	(ἐπεπέμφθην)	(ἤθροισθον)	(ἠθροίσθην)
P. 1.	ἤγμεθα	ἤγμεθα	πεπέμμεθα	ἐπεπέμμεθα	ἠθροίσμεθα	ἠθροίσμεθα
2.	ἦχθε	ἦχθε	πέπεμφθε	ἐπέπεμφθε	ἤθροισθε	ἤθροισθε
3.	ἠγμένοι εἰσί	ἠγμένοι ἦσαν	πεπεμμένοι εἰσί	πεπεμμένοι ἦσαν	ἠθροισμένοι εἰσί	ἠθροισμένοι ἦσαν

Subjunctive

S. 1.	ἠγμένος ὦ	πεπεμμένος ὦ	ἠθροισμένος ὦ
2.	ἠγμένος ᾖς	πεπεμμένος ᾖς	ἠθροισμένος ᾖς
3.	ἠγμένος ᾖ	πεπεμμένος ᾖ	ἠθροισμένος ᾖ
	etc.	etc.	etc.

Optative

S. 1.	ἠγμένος εἴην	πεπεμμένος εἴην	ἠθροισμένος εἴην
2.	ἠγμένος εἴης	πεπεμμένος εἴης	ἠθροισμένος εἴης
3.	ἠγμένος εἴη	πεπεμμένος εἴη	ἠθροισμένος εἴη
	etc.	etc.	etc.

Imperative

S. 2.	ἦξο	πέπεμψο	ἤθροισο
3.	ἤχθω	πεπέμφθω	ἠθροίσθω
*D. 2.	(ἦχθον)	(πέπεμφθον)	(ἤθροισθον)
3.	(ἤχθων)	(πεπέμφθων)	(ἠθροίσθων)
P. 2.	ἦχθε	πέπεμφθε	ἤθροισθε
3.	ἤχθων	πεπέμφθων	ἠθροίσθων

Infinitive

	ἦχθαι	πεπέμφθαι	ἠθροῖσθαι

Participle

	ἠγμένος, η, ον	πεπεμμένος, η, ον	ἠθροισμένος, η, ον

Digitized by Google

522. Contract Verbs — ποιέω

	Active		Middle and Passive	
	PRESENT INDICATIVE			
S. 1.	(ποιέω)	ποιῶ	(ποιέομαι)	ποιοῦμαι
2.	(ποιέεις)	ποιεῖς	(ποιέει, ποιέῃ)	ποιεῖ, ποιῇ
3.	(ποιέει)	ποιεῖ	(ποιέεται)	ποιεῖται
*D. 2.	(ποιέετον)	(ποιεῖτον)	(ποιέεσθον)	(ποιεῖσθον)
3.	(ποιέετον)	(ποιεῖτον)	(ποιέεσθον)	(ποιεῖσθον)
P. 1.	(ποιέομεν)	ποιοῦμεν	(ποιεόμεθα)	ποιούμεθα
2.	(ποιέετε)	ποιεῖτε	(ποιέεσθε)	ποιεῖσθε
3.	(ποιέουσι)	ποιοῦσι	(ποιέονται)	ποιοῦνται
	IMPERFECT INDICATIVE			
S. 1.	(ἐποίεον)	ἐποίουν	(ἐποιεόμην)	ἐποιούμην
2.	(ἐποίεες)	ἐποίεις	(ἐποιέου)	ἐποιοῦ
3.	(ἐποίεε)	ἐποίει	(ἐποιέετο)	ἐποιεῖτο
*D. 2.	(ἐποιέετον)	(ἐποιεῖτον)	(ἐποιέεσθον)	(ἐποιεῖσθον)
3.	(ἐποιεέτην)	(ἐποιείτην)	(ἐποιεέσθην)	(ἐποιείσθην)
P. 1.	(ἐποιέομεν)	ἐποιοῦμεν	(ἐποιεόμεθα)	ἐποιούμεθα
2.	(ἐποιέετε)	ἐποιεῖτε	(ἐποιέεσθε)	ἐποιεῖσθε
3.	(ἐποίεον)	ἐποίουν	(ἐποιέοντο)	ἐποιοῦντο
	PRESENT SUBJUNCTIVE			
S. 1.	(ποιέω)	ποιῶ	(ποιέωμαι)	ποιῶμαι
2.	(ποιέῃς)	ποιῇς	(ποιέῃ)	ποιῇ
3.	(ποιέῃ)	ποιῇ	(ποιέηται)	ποιῆται
*D. 2.	(ποιέητον)	(ποιῆτον)	(ποιέησθον)	(ποιῆσθον)
3.	(ποιέητον)	(ποιῆτον)	(ποιέησθον)	(ποιῆσθον)
P. 1.	(ποιέωμεν)	ποιῶμεν	(ποιεώμεθα)	ποιώμεθα
2.	(ποιέητε)	ποιῆτε	(ποιέησθε)	ποιῆσθε
3.	(ποιέωσι)	ποιῶσι	(ποιέωνται)	ποιῶνται

Digitized by Google

	ACTIVE	PRESENT OPTATIVE	MIDDLE AND PASSIVE	
S. 1.	(ποιέοιμι)	[ποιοῖμι	(ποιεοίμην)	ποιοίμην
2.	(ποιέοις)	ποιοῖς	(ποιέοιο)	ποιοῖο
3.	(ποιέοι)	ποιοῖ]	(ποιέοιτο)	ποιοῖτο
*D. 2.	(ποιέοιτον)	(ποιοῖτον)	(ποιέοισθον)	(ποιοῖσθον)
3.	(ποιεοίτην)	(ποιοίτην)	(ποιεοίσθην)	(ποιοίσθην)
P. 1.	(ποιέοιμεν)	ποιοῖμεν	(ποιεοίμεθα)	ποιοίμεθα
2.	(ποιέοιτε)	ποιοῖτε	(ποιέοισθε)	ποιοῖσθε
3.	(ποιέοιεν)	ποιοῖεν	(ποιέοιντο)	ποιοῖντο

or

S. 1.	(ποιεοίην)	ποιοίην
2.	(ποιεοίης)	ποιοίης
3.	(ποιεοίη)	ποιοίη
*D. 2.	(ποιεοίητον)	(ποιοίητον)
3.	(ποιεοιήτην)	(ποιοιήτην)
P. 1.	(ποιεοίημεν)	[ποιοίημεν
2.	(ποιεοίητε)	ποιοίητε
3.	(ποιεοίησαν)	ποιοίησαν]

PRESENT IMPERATIVE

S. 2.	(ποίεε)	ποίει	(ποιέου)	ποιοῦ
3.	(ποιεέτω)	ποιείτω	(ποιεέσθω)	ποιείσθω
*D. 2.	(ποιέετον)	(ποιεῖτον)	(ποιέεσθον)	(ποιεῖσθον)
3.	(ποιεέτων)	(ποιείτων)	(ποιεέσθων)	(ποιείσθων)
P. 2.	(ποιέετε)	ποιεῖτε	(ποιέεσθε)	ποιεῖσθε
3.	(ποιεόντων)	ποιούντων	(ποιεέσθων)	ποιείσθων

PRESENT INFINITIVE

(ποιέειν)	ποιεῖν	(ποιέεσθαι)	ποιεῖσθαι

PRESENT PARTICIPLE

M.	(ποιέων)	ποιῶν	(ποιεόμενος)	ποιούμενος
F.	(ποιέουσα)	ποιοῦσα	(ποιεομένη)	ποιουμένη
N.	(ποιέον)	ποιοῦν	(ποιεόμενον)	ποιούμενον

Digitized by Google

523. Contract Verbs — τῑμάω

	ACTIVE		MIDDLE AND PASSIVE	
	PRESENT INDICATIVE			
S. 1.	(τῑμάω)	τῑμῶ	(τῑμάομαι)	τῑμῶμαι
2.	(τῑμάεις)	τῑμᾷς	(τῑμάει, τῑμάῃ)	τῑμᾷ
3.	(τῑμάει)	τῑμᾷ	(τῑμάεται)	τῑμᾶται
*D. 2.	(τῑμάετον)	(τῑμᾶτον)	(τῑμάεσθον)	(τῑμᾶσθον)
3.	(τῑμάετον)	(τῑμᾶτον)	(τῑμάεσθον)	(τῑμᾶσθον)
P. 1.	(τῑμάομεν)	τῑμῶμεν	(τῑμαόμεθα)	τῑμώμεθα
2.	(τῑμάετε)	τῑμᾶτε	(τῑμάεσθε)	τῑμᾶσθε
3.	(τῑμάουσι)	τῑμῶσι	(τῑμάονται)	τῑμῶνται
	IMPERFECT INDICATIVE			
S. 1.	(ἐτίμαον)	ἐτίμων	(ἐτῑμαόμην)	ἐτῑμώμην
2.	(ἐτίμαες)	ἐτίμᾱς	(ἐτῑμάου)	ἐτῑμῶ
3.	(ἐτίμαε)	ἐτίμᾱ	(ἐτῑμάετο)	ἐτῑμᾶτο
*D. 2.	(ἐτῑμάετον)	(ἐτῑμᾶτον)	(ἐτῑμάεσθον)	(ἐτῑμᾶσθον)
3.	(ἐτῑμαέτην)	(ἐτῑμάτην)	(ἐτῑμαέσθην)	(ἐτῑμάσθην)
P. 1.	(ἐτῑμάομεν)	ἐτῑμῶμεν	(ἐτῑμαόμεθα)	ἐτῑμώμεθα
2.	(ἐτῑμάετε)	ἐτῑμᾶτε	(ἐτῑμάεσθε)	ἐτῑμᾶσθε
3.	(ἐτίμαον)	ἐτίμων	(ἐτῑμάοντο)	ἐτῑμῶντο
	PRESENT SUBJUNCTIVE			
S. 1.	(τῑμάω)	τῑμῶ	(τῑμάωμαι)	τῑμῶμαι
2.	(τῑμάῃς)	τῑμᾷς	(τῑμάῃ)	τῑμᾷ
